# AKROPOLIS WORLD NEWS

**www.akwn.net**

J. Coderch

**Tenth Year**

**(September 2011 - June 2012)**

## Did Berlusconi insult Merkel? / Many crocodiles run free through Thailand

(18-09-11)

### Ἆρα ὁ Βερλουσκόνι τὴν Μέρκελ ὠνείδισεν;

Λέγεται ὅτι ὁ τῆς Ἰταλίας πρωθυπουργὸς τὴν τῆς Γερμανίας πρόεδρον Α. Μέρκελ προχθὲς ὠνείδισεν, λέγεται γὰρ ὅτι εἶπε περὶ αὐτῆς ὑβριστικούς τινας λόγους (οὓς ἐνθάδε γρᾶψαι οὐ βούλομαι)· τῇ δὲ ὑστεραίᾳ, τοῦ ἀγγέλματος ταχέως διαδραμόντος, πᾶσαι μὲν αἱ τῆς Ἰταλίας ἐφημερίδες ἔγραψαν περὶ τούτου, λέγουσι δὲ οἱ δημοσιογράφοι ὅτι τοὺς ὑβριστικοὺς λόγους ἤκουσέ τις κατὰ τύχην ἐν τηλεφονικῇ μεταδόσει. ὅμως δὲ οὐδεὶς δημοσιογράφος δεδύνηται οὐκέτι ἀποδεικνύναι πότερον ὁ Βερλουσκόνι τῷ ὄντι τοῦτο εἶπεν.

Καὶ ἐν τῇ Γερμανίᾳ οἱ δημοσιογράφοι περὶ τὸ ὄνειδος ἔγραψαν, οὐ μέντοι πολλά· ἐν δὲ τῇ ἐφημερίδι "Τὸ Εἶδος" (Δασ Βιλδ) ἐγράφη χθὲς τοῦτο τὸ ἐρώτημα· "ἆρα εἶπεν ὁ Βερλουσκόνι ὑβριστικοὺς λόγους περὶ τῆς Μέρκελ;", ἡ δὲ ἐφημερὶς "Ὁ Κόσμος" (Διε Ωελτ) ἔγραψεν ὅτι εἰ τοῦτο ἀληθὲς εἴη, οὗτοι οἱ λόγοι οὕτως ὑβριστικοὶ εἶεν ἂν ὥστε οὔτε Γερμανιστὶ οὔτε Ἰταλιανιστὶ ἐξείη ἂν αὐτοὺς ἐν ἐφημερίδι τινὶ γρᾶψαι. ὅ τι ἡ Μέρκελ τῷ Βερλουσκόνι ἐρεῖ ὁπόταν αὖθις αὐτῷ συντύχῃ χαλεπόν ἐστιν εἰδέναι... ἴσως ἀποκρινεῖται ὁ Βερλουσκόνι ὅτι τούτους τοὺς λόγους ἀπρονοήτως εἶπεν;

### Πολλοὶ κροκόδειλοι διὰ τῆς Ταιλανδίας ἐλεύθεροι ἀποφεύγουσιν

Κατ᾽ ἐνιαυτὸν ἐν τούτῳ τῷ χρόνῳ, τοῦ θέρους τελευτῶντος, πολλὰ συνεχῶς ὕει ἐν τῇ Ταιλανδίᾳ, τὸ δὲ ὕδωρ μέγα μέρος τῆς χώρας κατακλύζει· τοῦτο δήπου ἀεὶ μὲν ἐπικίνδυνόν ἐστιν, τούτῳ δὲ τῷ ἔτει ἐπικινδυνώτατον, πολλοὶ γὰρ κροκόδειλοι οἳ ἐν τεχνηταῖς λίμναις ὑπὸ ἀνθρώπων τρέφονται ἀποπεφεύγασιν. ἐν τῇ Ταιλανδίᾳ πολλαὶ τεχνηταὶ λίμναι εἰσὶν ἐν αἷς κροκοδείλους τρέφουσιν ἵνα τό τε δέρμα καὶ τὸ κρέας πωλῶσιν, τούτῳ δὲ τῷ ἔτει ὁ κατακλυσμὸς οὕτω μέγας ἐγένετο ὥστε τὸ μὲν ὕδωρ μίαν τούτων τῶν τεχνητῶν λιμνῶν διέφθειρεν (ἐν τῷ τουριστικῷ δήμῳ Πατταίᾳ καλουμένῃ, ἑκατὸν καὶ πεντήκοντα χιλιομέτρα τῆς Βαγκὸκ ἀπεχούσῃ), τοῖς δὲ κροκοδείλοις ῥᾳδίως ἐκφυγεῖν ἐξῆν. οἱ μὲν φύλακες μόνον εἴκοσι καὶ ἐννέα ηὑρήκασιν, ἐνίους αὐτῶν πέντε μέτρα τὸ μῆκος, οἱ δὲ ἄλλοι, πλείονες ἢ δυσχίλιοι, ἔτι καὶ νῦν ἐλεύθεροι μένουσιν.

## Child lives five years in the woods / Palestine requests entry into the UN

(24-09-11)

**Παῖς τις ἐν τῇ ὕλῃ πέντε ἔτη οἰκεῖ**

Παῖς τις εἰς τὴν Βερλὶν μόνος ἀφικόμενος εἶπεν ὅτι ὁ πατὴρ ἀποθάνοι· πρῶτον μὲν χαλεπὸν ἦν τὸν παῖδα συνεῖναι, ἀγγλιστὶ μὲν γὰρ διελέγετο, γερμανιστὶ δὲ μόλις. κατὰ δὲ τὸν παῖδα, πρῶτον μὲν ὁ πατὴρ αὐτὸν εἰς τὴν ὕλην ἐκ πολλοῦ ἤνεγκεν, τῆς μητρὸς αὐτοκινητικῇ συμφορᾷ ἀποθανούσης, ἐκεῖ δὲ πέντε ἔτη οἱ δύο ᾤκουν· ἔπειτα δέ, τοῦ πατρὸς ἀποθανόντος, ὁ παῖς πρὸς τὸ Βερλὶν μόνος ἐπορεύθη, ἀφικόμενος δὲ εἶπεν ὅτι τὸν πατέρα καταθάψειεν ἐκεῖ οὗ ἀπέθανεν. νῦν δὲ πειρῶνται οἱ φύλακες ὅπου τὸ τοῦ πατρὸς σῶμα κεῖται αἰσθάνεσθαι, τοῦτο δὴ χαλεπὸν ἔσται, ὁ γὰρ παῖς οὐχ οἷός τ᾽ ἐστι τοῦ τόπου ἀκριβῶς μέμνησθαι.

Ἴσως ὁ παῖς Βρεταννικὸς πολίτης ἐστίν, τῇ γὰρ ἀγγλικῇ γλώττῃ παντελῶς χρῆσθαι ἔχει, διὰ δὲ τοῦτο οἱ Βρεταννικοὶ φύλακες, περὶ τοῦ παιδὸς ἀκούσαντες, ἐξετάζουσι νῦν περὶ Βρεταννικῶν πολιτῶν οἳ ἠφανίσθησαν. οἵ τε ἔμπειροι καὶ οἱ ἰατροὶ οἳ τὸν παῖδα ἐξητάκασι διαβεβαιοιοῦνται ὅτι ὁ παῖς ὑγιαίνει καίπερ (ἢ ἅτε;) τοσοῦτον χρόνον ἐν τῇ ὕλῃ βιώσας.

**Ἡ Παλαιστίνα εἰς τὸν ΗΕΟ εἰσβῆναι αἰτεῖ**

Νεωστὶ σύνοδος ἐγένετο εν τῷ ΗΕΟ ἵνα τὴν ἅμιλλαν, ᾗ τούς τε Παλαιστίνους καὶ τὸ Ἰσραῆλ πρὸς ἀλλήλους ἐποτρύνει, ἤδη πολλὰ ἔτη διαμένουσαν ἀποτελεῖν πειρῷντο. ἐν ταύτῃ τῇ συνόδῳ ὅ τε Παλαιστίνος ἄρχων Μαμοῦδ Ἄβας καὶ ὁ τοῦ Ἰσραῆλ πρωθυπουργὸς ἕκαστος τὴν ἑαυτοῦ γνώμην ἀπέδειξαν.

πρῶτον μὲν ὁ Μ. Ἄβας ἠγόρευσεν· τῷ τοῦ ΗΕΟ ὑφυπουργῷ, Βὰν κι Μοῦν, ἐπιστολὴν δόντος ἐν ᾗ τὸν ΗΕΟ αἰτεῖ τὴν Παλαιστίνην ὡς αὐτόνομον χῶραν δέχεσθαι, τὸ αὐτὸ ὁ Ἄβας ἐν τῷ φανερῷ εἶπεν, ὅτι αὐτόνομον χῶραν τὴν Παλαιστίναν γενέσθαι βούλεται τὰ Ἱεροσόλυμα ὡς πρωτεύουσαν πόλιν ἔχουσαν. ἔπειτα δὲ ὁ τοῦ Ἰσραῆλ πρωθυπουργὸς τῷ Ἄβας διαλέγεσθαι

καὶ διαλλάτεσθαι προὔτεινεν, ὅμως δὲ τὸν ΗΕΟ ἐμέμψατο, εἶπε γὰρ ὅτι ἐπειδὰν κακὸν συμβαίνον ἐγγὺς τοῦ ὅρου γίγνηται οὗτος ὁ ὀργανισμὸς ἀεὶ τοὺς Παλαιστίνους μᾶλλον ἢ τὸ Ἰσραῆλ ὠφελεῖ.

## American ambassador in Syria, pursued / Hell Angels, forbidden in Germany / White whale seen in Australia

(01-10-11)

**Τὸν Ἀμερικανὸν πρέσβυν ἐν τῇ Συρίᾳ διώκουσιν**

Ὁ Ῥοβέρτος Φόρδ, ὁ ἐν τῇ Συρίᾳ Ἀμερικανὸς πρέσβυς, διὰ τῶν ἀγυιῶν ἐδιώχθη ἐν τῇ Δαμασκῷ ὑπὸ πολιτῶν οἳ ὑπὲρ τοῦ προέδρου Ἀσᾶδ ἐκεῖ τότε διεδήλουν, ἔδει δὲ τὸν πρέσβυν εἰς τὴν φίλου τινὸς οἰκίαν ἐκφυγεῖν· τοῦ δὲ πρέσβεως ἐν τῇ οἰκίᾳ μένοντος, τὸ μὲν πλῆθος περὶ τὴν οἰκίαν ἔμενεν, τέλος δὲ οἱ φύλακες (βραδέως) ἀφικόμενοι τοὺς διαδηλώτας ἐξήλασαν. ἐν τῇ Συρίᾳ καθ' ἡμέραν τοιαῦτα συμβαίνει, ἡ γὰρ Ἀμερικανὴ ἀρχὴ πειρᾶται τὸν Ἀσᾶδ ἐκ τῆς ἀρχῆς ἐκβῆναι καὶ τῇ δικτατωρείᾳ τέλος ἐπιθεῖναι ἀναγκάζειν, οἱ δὲ τῷ Ἀσᾶδ ἐπικουροῦντες τοὺς Ἀμερικανοὺς τούτων τῶν δυστυχημάτων αἰτίους εἶναι νομίζουσιν.

**Οἱ τοῦ Ἅιδου Ἄγγελοι ἐν τῇ Γερμανίᾳ ἀπαγορεύονται**

Ὁ τῶν ἐνδωτερικῶν ὑπουργὸς τῆς Ἕσσης, χώρας ἣ ἐν τῷ τῆς Γερμανίας κέντρῳ κεῖται, δύο ὁμάδας τῶν τοῦ Ἅιδου Ἀγγέλλων ἀπηγόρευσεν, ἐκέλευσε δὲ τοὺς φύλακας ταύτας τε τὰς ὁμάδας παντελῶς διαλύειν καὶ τὰ κτήματα αὐτῶν δημεύειν. κατὰ τὸν ὑπουργὸν οὗτοι οἱ ἄνθρωποι οὐ μόνον φάρμακά τε καὶ ὅπλα παρὰ τοὺς νόμους καπηλεύουσι ἀλλὰ καὶ συνεχῶς τοὺς πολίτας ὑβρίζουσιν. τέλος δὲ ὁ ὑπουργὸς τὰ τούτων τῶν ὁμάδων σύμβολα ἀπηγόρευσεν.

**Λευκὴν φάλειναν ἐν τῇ Αὐστραλίᾳ ὁρῶσιν**

Λευκὴ φάλεινα ἐν τῇ Αὐστραλίᾳ νεωστὶ ὤφθη· ναύτης τις φωτογραφείας ποιήσας πρὸς ἐμπείρους τινὰς ζῳολόγους ἔπεμψεν, νῦν δὲ τούτων τῶν φωτογραφειῶν ἕνεκα ἴσμεν τὴν φάλειναν μόνον δύο μῆνας γεγωνυῖαν οὖσαν. ἡ μὲν ἐνδοξωτάτη φάλεινα τῆς ἱστωρίας ἡ

Μόβυ Δῖκ ἐστιν, μῦθος δή, πάντες γὰρ εἴτε τὴν βίβλον ἀνέγνωμεν εἴτε περὶ τῆς βίβλου ἀκεκόαμεν, ὅμως δὲ τῷ ὄντι ἄλλη λευκὴ φάλεινα ἐστιν, "Μιγάλος" καλουμένη, ἣ κατ᾽ ἐνιαυτὸν ἐκ τῆς Ἀυστραλίας πρὸς τὴν Ἀνταρκτικὴν νεῖ καὶ πάλιν πρὸς τὴν Αὐστραλίαν ἐπανέρχεται (τῆς θερμότητος ἕνεκα), οἱ δὲ ἔμπειροι οὐκ ἴσασιν πότερον αὕτη ἡ νέα φάλειναν θυγατὴρ τῆς Μιγάλου ἐστίν.

## Libyan rebels attack Sirte / Peace Nobel Prize to three women / Russia and China support Asad

(07-10-11)

### Οἱ Λιβύοι στασιῶται τῇ Σίρτῃ ἐπιτίθενται

Οἱ στασιῶται τὸν Γαδάφι οὐκέτι κατειλήφασι καίπερ σφόδρα πειρῶντες· ὁ μὲν Γαδάφι, ἤδη φυγὰς γενομένος καὶ ἐν τῇ πόλει Σίρτῃ (διότι ἐν ταύτῃ τῇ πόλει ἐγένετο) κεκρυμμένος, ἔτι καὶ νῦν προσποιεῖται μὲν ἐν τῇ ἀρχῇ εἶναι, τοῖς δὲ πολίταις διὰ ῥαδιοφωνικοῦ τινος σταθμοῦ ἀγορεύει ὥσπερ ἂν εἰ πρόεδρος εἴη, ὅμως δὲ οἱ στασιῶται πολιορκοῦσι νῦν ταύτην τὴν πόλιν (τῆς Τριπόλεως τριακόσια καὶ ἑξήκοντα χιλιομέτρα ἀπέχουσαν), λέγεται δὲ ὅτι τήμερον πολλὰ μὲν τεθωρακισμένα ἅρματα ἐκεῖσε προὐχώρησεν εἰς τὸ ἐπικέντρον ἀφίκεσθαι πειρώμενα, πολλοὶ δὲ πολῖται, τὴν τελευταίαν ἐπίθεσιν προορῶντες, τὴν πόλιν καταλελοίπασιν· τοῖς ἔξω τῆς πόλεως οὖσιν ἔξεστι κάπνον πανταχοῦ ἰδεῖν, πολλὰ γὰρ οἰκήματα κατακεκαυμμένοι εἰσὶν τῆς προσβολῆς ἕνεκα.

### Τὸ τῆς Εἰρήνης Ἆθλον τρισὶ γυναιξὶ διδόασιν

Ἡ τῆς Νορβεγίας βουλὴ τὸ τῆς Εἰρήνης Ἆθλον τρισὶ γυναιξὶ κατ᾽ ἰσομοιρίαν δέδωκεν. μία μὲν τῶν τριῶν γυναικῶν ἡ νέα τῆς Λιβερίας πρόεδρός ἐστιν, πρῶτον μὲν γὰρ τὸν πρότερον πρόεδρον Ταῖλορ, φονέα ὄντα, ἐκ τῆς ἀρχῆς ἐξέβαλεν, ἔπειτα δὲ πρώτη γυνὴ δημοκρατικῶς πρόεδρος ᾑρέθη, τῶν δὲ ἄλλων δυοῖν γυναικῶν ἡ μὲν καὶ ἐν τῇ Λιβερίᾳ ἐγένετο καὶ ἐκεῖ οἰκεῖ, ἡ δὲ ἄλλη ἐν τῇ Ὑεμένῃ· αὗται αἱ δύο γυναῖκες μάλα ἐν ταῖς Ἀραβίαις ἐπαναστάσεσι συμπεπράχασιν.

**Ἡ Ῥωσσία καὶ ἡ Κίνα τῷ Ἀσᾶδ ἐπικουροῦσιν**

Ἐν τῇ Συρίᾳ οἱ στασιῶται οὐχ οὕτως εὖ πράττουσι ὡς οἱ ἐν τῇ Λιβύῃ ὁ γὰρ Ἀσᾶδ ἔτι καὶ νῦν εν τῇ ἀρχῇ μένει· καθ' ἡμέραν μὲν πολλοὶ πολῖται ὑπὸ τοῦ Ἀσᾶδ ἀποθνήσκουσιν ἐὰν αὐτῷ ἐνιστῶσιν, τούτῳ δὲ τέλος ἐπιθεῖναι πειρῶν ὁ ΗΕΟ ἐπιστολὴν ἐγεγράφει καθ' ἣν δεῖ τὸν Ἀσᾶν τὴν ἀρχὴν βίᾳ κατέχοντα παύειν πειρᾶν, ὅμως δὲ ἡ Ῥωσσία καὶ ἡ Κίνα ταύτην τὴν ἐπιστολὴν ὑπογράφεσθαι οὐκ ἠθέλησαν. τούτων τῶν δυοῖν χωρῶν ταῖς ἄλλαις χώραις συμπράττεσθαι οὐκ ἐθελουσῶν, οὐκ ἔξεστι οὐδὲν κατὰ τοῦ Ἀσᾶδ ποιεῖν.

## Increase of taxes in Turkey / Israeli soldier to be released / Did they really capture Gaddafi's son?

(14-10-11)

**Ἐν τῇ Τουρκίᾳ τοὺς δασμοὺς αὐξήσουσιν**

Ἡ κρίσις περὶ ἧς πάντες πανταχοῦ διαλέγονται καὶ τὴν Τουρκίαν βλάπτει, ἴσως μὲν οὐκ ἐπὶ τοσοῦτο ὅσον τὰς ἄλλας χώρας, βλάπτει δὲ καὶ εἰ μόνον ὀλίγον. τοῦτο ἰδόντες, οἱ ταύτης τῆς χώρας ἄρχοντες τοὺς δασμοὺς αὐξάνειν τῇ βουλῇ προτιθέναι ἐν νῷ ἔχουσιν, ἄλλους τε καὶ τοὺς περὶ τῆς ἀλκοόλης καὶ τῶν κινητῶν τηλεφώνων (οὐδὲν εἶπον περὶ τοῦ καπνοῦ), καὶ δὴ καὶ τοῖς ἄρχουσιν ἔδοξε νέον νόμον προθεῖναι καθ' ὃν δεήσει τοὺς δημοσίους ἐργάτας καὶ τῷ Σαββάτῳ ἐργάζεσθαι. ὅμως δὲ οἱ πολῖται τούτῳ ἀνθίστανται, προχθὲς γὰρ οἱ αὐτοὶ ἄρχοντες ἄλλον νέον νόμον ἐψηφίσαντο καθ' ὃν ἔξεσται πᾶσι τοῖς βουλευταῖς βενζίνην τε καὶ ἀεροπορείας προῖκα ὠνεῖσθαι.

**Τὸν Ἰσραηλινὸν στρατιώτην Σαλὶτ λύσουσιν**

Ὁ Ἰσραηλινὸς στρατιώτης Σαλίτ, ὑπὸ τοῦ Ἁμᾶς πάλαι συλληφθείς, ἤδη τὸ πέμπτον ἔτος αἰχμάλωτος ἐν τῇ Γάζῃ μένει, νῦν δὲ οἱ τοῦ Ἰσραῆλ ἄρχοντες καὶ τὸ Ἁμᾶς περὶ τῆς ἀφέσεως αὐτοῦ ὡμολόγησαν· τὸ μὲν Ἁμᾶς τὸν στρατιώτην λύσει, ὅμως δὲ δεῖ τὸ Ἰσραῆλ χιλίους Παλαιστίνους λῦσαι. τούτου τοῦ ἀγγέλματος διὰ τοῦ Ἰσραῆλ ταχέως ἀκουσθέντος,

διαλέγονται ἀλλήλοις οἱ πολῖται ὅ τι δεῖ ποιεῖν, πότερον δεῖ ταύτην τὴν προσφορὰν δέχεσθαι ἢ οὔ.

**Ἆρα τὸν τοῦ Γαδάφι υἱὸν τῷ ὄντι συνέλαβον;**

Νεωστὶ ἤγγειλαν οἱ στασιῶται ὅτι τὸν Μουτάσιμ Γαδάφι, ὃς τυγχάνει υἱὸς τοῦ Μουαμὰρ Γαδάφι ὤν, ἐν τῇ Σίρτῃ συλλάβοιεν ἅμα ἐκ τῆς πόλεως ἐκφυγεῖν πειρώμενον, ἔπειτα δὲ ὁ τῶν αὐτῶν στασιώτων φερέφωνος διεβεβαιώσατο ὅτι περὶ τούτου τοῦ πράγματος οὐδὲν εἰδείη, νῦν δὲ οὐδεὶς οἶδεν ὅπου μὲν ὁ τοῦ Γαδάφι υἱός ἐστιν, πότερον δὲ ἀποτέθνηκεν ἢ οὔ. περὶ δὲ τοῦ πολέμου αὐτοῦ ἔχομεν τήμερον εἰπεῖν ὅτι οἱ στασιῶται τὴν Σίρτην οὐκέτι κατέχουσιν, οἱ γὰρ τῷ Γαδάφι ἐπικουροῦντες τοὺς τῇ πόλει ἐπιτιθεμένους χθὲς ἔτραπον.

## Flood in Thailand / Gaddafi dies

(21-10-11)

**Κατακλυσμὸς ἐν τῇ Ταιλανδίᾳ**

Ἤδη τρεῖς μηνὰς ἐν τῇ Ταιλανδίᾳ πολλῷ ὕει, τοσοῦτον δὲ ὕει ὥστε οὐ μόνον οἱ ἀγροὶ ὑπὸ τῷ ὕδατι κρυπτοὶ μένουσιν ἀλλὰ καὶ ἡ πόλις Βαγκὸκ κινδυνεύει· αὕτη ἡ πόλις, ἐν ᾗ δέκα ἑκατομμυρία ἀνθρώπων οἰκοῦσιν, νῦν ἐοικυῖά ἐστι νήσῳ, τὸ γὰρ ὕδωρ ὃ ἐκ τῆς ἄρκτου καταρρεῖ τὴν πόλιν παντελῶς κυκλεῖται· τούτων οὕτως ἐχόντων, οἱ πολῖται ἐν τοῖς πωλητηρίοις οὐ μόνον τοσοῦτον σῖτον ὅσον δυνατόν ἐστι ὠνοῦνται ἀλλὰ καὶ ὕδωρ ἐν λαγύνοις, φοβοῦνται γὰρ μὴ τὸ ὕδωρ ὃ ἐκ τῶν κρηνῶν ἐκρεῖ νοσώδες γίγνηται, πολλὰ γὰρ σώματα ἐν τοῖς ποταμοῖς κεῖται (τριακόσιοι καὶ δέκα ἄνθρωποι τῷ κατακλυσμῷ ἀπέθανον). οὐκ ἐξὸν τοῖς γεωργοῖς κατὰ πᾶσαν τὴν χώραν ἐν τοῖς ἀγροῖς φυτεύειν, οἱ πολῖται οὐκ ἴσασιν ὁπόθεν σῖτον δέχεσθαι δεῖ, δεδογμένον δὲ τοῖς ἐν τέλει τὰς τῶν φραγμάτων πύλας ἀνοῖξαι (τοσοῦτο γὰρ ὕδωρ ἀθροίζεται ὥστε ἴσως τὰ φράγματα ῥαγείη ἄν), τοῦτο μὲν χθὲς ἐκέλευσαν, νῦν δὲ ἔτι πλεῖον ὕδατος ἐπὶ τοῖς ἀγροῖς κεῖται.

**Ὁ Γαδάφι ἀποθνῄσκει**

Ὁ Γαδάφι ἀπέθανε χθὲς ἐγγὺς τῆς πόλεως Σίρτης. οἱ μὲν στασιῶται, πολὺν χρόνον τὴν πόλιν πολιορκήσαντες, τέλος εἰσέβησαν ἵνα αὐτὸν καταλαβοῖεν, ὁ δὲ Γαδάφι καὶ οἱ περὶ αὐτοῦ ἐπείρασαν ἐκ τῆς πόλεως ἐκφυγεῖν, ἀλλὰ οἱ σύμμαχοι τῷ αὐτοκινήτῳ ἐν ᾧ ὁ Γ. ἐπορεύετο ἐπέθεντο. ταύτῃ δὲ τῇ ἐπιθέσει ὁ Γ. οὐ μὲν ἀπέθανεν, ἐτρώθη δέ, ἐν δὲ ὀρύγματι κρυπτὸς πρῶτον μὲν τοὺς διώκοντας ἔλαθεν ἐκεῖ μένων, τέλος δὲ οἱ στασιῶται αὐτὸν εὑρόντες ἐπυροβόλησαν· οὐκέτι ὁ Γ. ἀπέθανεν, ἀλλὰ ἔτι ζῶν πρὸς τὴν Σίρτην προσηνέχθη, ἐκεῖ δὲ τὸ πλῆθος μανιώδες ὃν τέλος ἐπέθηκε τῷ βίῳ αὐτοῦ. ἔνιοι στασιῶται φωτογραφείας ἐποίησαν ἐν αἷς ἔξεστι τὸν Γ. ἰδεῖν ἔτι μὲν ζῶντα, τετρωμένον δέ. περὶ δὲ τῶν ἄλλων οἱ μὲν δορύφοροι αὐτοῦ καὶ ἀπέθανον, λέγεται δὲ ὅτι ὁ υἱοὺς αὐτοῦ Σαΐφ πρὸς ἄλλην τινὰ χώραν ἐξέφυγεν, λέγουσι δὲ ἄλλοι ὅτι ἐν τῇ πόλει Ζίλτεν αὐτὸν κατέλαβον.

ὅ τι νῦν συμβήσεται ἐν τῇ Λιβύῃ οὐκέτι ἀκριβῶς οἶδεν οὐδείς· δέον πρῶτον τὸν νεκρὸν θάπτειν, οἱ μὲν στασιῶται τὸν τοῦ Γ. δῆμον ἤροντο πότερον βούλοιντο τὸν νεκρὸν δέχεσθαι ἢ οὔ, οἱ δὲ οὐκέτι ἀπεκρίναντο· καὶ δὴ καὶ δεῖ νέους ἄρχοντας αἱρεῖσθαι, τοῦτο δὲ χαλεπὸν ἔσται ἐν χώρᾳ οὗ τοσαύτη καθαίρεσις δέκα μηνὰς γεγένηται.

## Turmoil in China / Steve Jobs' biography, published / Elections in Tunisia
(29-10-11)

### Ταραχὴ ἐν τῇ Κίνᾳ

Τοῖς τῆς Κίνας ἄρχουσιν δόξαν νέον φόρον ταῖς ἐμπορικαῖς ἐργασίαις ἐπιτιθέναι, οἱ ἔμποροι, τοῦτο τὸ ἄγγελμα ἀκούσαντες, εἰκότως μάλιστα ὠργίσθησαν· κατὰ μὲν πολλὰς πόλεις ταραχὴ ἐγένετο, ἐν δὲ τῇ πόλει Οὔζου πολλοὶ πολῖται τῷ νέῳ φόρῳ βιαίως ἀγανακτοῦντες πολλά τε αὐτοκίνητα ἐνέπρησαν καὶ τοῖς φύλαξι τοῦτο κωλύειν πειρῶσιν ἐπέθεντο· κατὰ μὲν τοὺς δημοσιογράφους τρεῖς ἄνθρωποι ἀπέθανον, ὅμως δὲ οὐ λέγουσι πότερον οὗτοι οἱ ἄνθρωποι φύλακές εἰσιν ἢ πολῖται. οἱ φύλακες εἴκοσι καὶ ὀκτὼ ἀνθρώπους κατέλαβον ἅτε αὐτοκινητά τε καὶ σκηνὰς διαφθείροντας.

### Τὴν τοῦ Στεφάνου Ἰὸβς βιογραφίαν ἐκδιδόασιν

"Τὸ μεταξὺ τῆς τεχνολογίας καὶ τῶν Μουσῶν εἶναί μοι ἀρέσκει"· οὗτοι οἱ λόγοι, ὑπὸ τοῦ Στεφάνου Ἰὸβς λεχθέντες, ἀποδεικνύασιν διὰ τί ὁ νοῦς αὐτοῦ ἦν ὡς ἦν τῷ ὄντι· ὡς πάντες ἴσμεν, ὁ τὸν ἐνδοξότατον ὑπολογιστὴν Μακίντος δημιουργήσας νεωστὶ ἀπέθανεν, νῦν δὲ ὁ Οὐἄλτηρ Ἰσαάκσων τὴν βιογραφίαν τοῦ Σ. Ι. ἐκδέδωκεν ἣν δεῖ πάντας τοὺς τὸν Σ. Ι. θαυμάζοντας ὠνεῖσθαι, ἐν δὲ αὐτῇ ἔξεστιν ἡμῖν ὅπως ὁ Σ. Ι. τῆς τοῦ πρώτου Μὰκ γενέσεως ἄρξαιτο, ὅπως πλουσιώτατος γένοιτο, ἄλλα τε καὶ τὸν βίον αὐτοῦ μεταξὺ τῶν περὶ τῆς τεχνολογίας μαθημάτων ἐν τῷ πανεπιστημίῳ Στάνφορδ καὶ τῆς φιλίας αὐτοῦ ταῖς Μούσαις.

**Ἀρχαιρεσίαι ἐν τῇ Τυνησίᾳ**

Τῆς νεωστὶ ἐπαναστάσεως ἤδη παυσαμένης, τὸ πρῶτον δημοκρατικαὶ ἀρχαιρεσίαι ἐγένοντο ἐν τῇ Τυνησίᾳ· ὅμως δὲ ἐδέησε τέτταρας μηνὰς μένειν πρὶν τὸ τοῦ νικήσαντος ὄνομα γνῶναι, ἐδέησε γὰρ πάσας τὰς ψήφους αὖθις ἀριθμεῖν· ὁ νικήσας ὁ Ῥαχὶδ Γαννοῦσί ἐστιν, ἰσλαμικὸς ἀκαδημικὸς ὃς εἴκοσι καὶ δύο ἔτη ἐν τῇ Ἀγγλίᾳ ὡς φυγὰς ᾤκησεν, τοῖς δημοσιογράφοις ἐρωτῶσιν ὅ τι δέοι νῦν ποιεῖν ἀπεκρίνατο ὅτι δέοι νῦν πρῶτον μὲν νέαν πολιτεῖαν ὡς τάχιστα γράφειν, ἔπειτα δὲ αὖθις ἀρχαιρεσίας ποιεῖσθαι.

## Assad goes on killing / Will Iran be attacked?

(05-11-11)

**Ὁ Ἀσᾶδ ἔτι καὶ νῦν ἀποκτείνει**

Εἴκοσι ἄνθρωποι ἀπέθανον χθὲς ἐν τῇ πόλει ῞Ομς ὑπὸ τῶν στρατιωτῶν ἅμα τῇ τοῦ Ἀσᾶδ δικτατωρείᾳ ἐνιστάμενοι· οὗτοι οἱ στρατιῶται, ὑπὸ τοῦ Ἀσᾶδ πεμφθέντες ἵνα τὴν ἐπανάστασιν καταπιέζοιεν, εἰς τὸ τῆς πόλεως κέντρον ἀφικόμενοι, ἄνευ λόγου ἐπὶ τοὺς διαδηλωτὰς ἐπυροβόλησαν. προχθὲς μὲν ὁ Ἀσᾶδ τῇ Ἀραβικῇ Ἑνώσει ὑπέσχετο τούς τε ἑαυτοῦ στρατιώτας ἐκ τῶν ἀγυιῶν ἐξελαύνειν καὶ τοὺς δεσμώτας ἔτι ἐν τῷ δεσμωτηρίῳ παρανόμως κειμένους λύειν καὶ τοὺς ξενίους δημοσιογράφους περὶ τῆς ἐπαναστάσεως αἰσθάνεσθαί τε καὶ παρρησίαν ἔχοντας ἀγγέλλειν ἐᾶν, νῦν δὲ καίπερ τοσαῦτα ὑπισχόμενος οὐδὲν τούτων πεποίηκεν (οἱ τῶν ἐπανισταμένων φερέφωνοι ἤδη εἶπον ὅτι ὁ Ἀσᾶδ οὐδὲν τούτων ποιήσοι). δεῖ οὖν νῦν ὅ τι τῇ Ἀραβικῇ Ἑνώσει πράττειν δόξει εἰδέναι, ὡς τοῦ Ἀσᾶδ

ὃ ὑπέσχετο οὐκ ἐκπληρώσαντος. ἐξ οὗ ἡ ἐπανάστασις νεωστὶ ἤρξατο, ἴσως τρισχίλιοι ἄνθρωποι ἤδη ἀπέθανον ἐν τῇ Συρίᾳ.

**Ἆρα προσβολὴν πρὸς τὸ Ἰρᾶν ποιήσονται;**

Ἤδη πάλαι περὶ τῶν ἐν τῷ Ἰρᾶν πυρηνικῶν ἐγκαταστασέων πανταχοῦ λέγεται· οἱ μὲν τοῦ Ἰρᾶν ἄρχοντες διαβεβαιοῦνται ὅτι πυρηνικὴν δύναμιν ἔχειν βούλονται μόνον ὅπως ἠλεκτρικὴν δύναμιν κτήσωνται, οἱ δὲ ἄλλων χωρῶν ἄρχοντες, ἐκείνοις οὐ πιστεύοντες, ἐν ὑποψίᾳ ἔχουσι τὸ Ἰρᾶν πυρηνικὰς βόμβας κτᾶσθαι πειρᾶν. τόδε ἐστὶ τὸ πρόβλημα· οἱ μὲν τοῦ Ἰρᾶν ἄρχοντες πολλάκις εἶπον ὅτι δέοι τὸ Ἰσραῆλ παντελῶς διαφθείρειν, εἰ δὲ τὸ Ἰρᾶν τὴν πυρηνικὴν βόμβαν κτήσειεν ἡ νέα κατάστασις ἐπικίνδυνος γένοιτο ἄν· τοῦτο δὲ προορῶν ὁ τοῦ Ἰσραῆλ πρωθυπουργὸς Νετανιάχου πρὸς τὸ Ἰρᾶν προσβολὴν ποιεῖσθαι προτέθηκε καὶ τὴν τῶν τε ΗΑΠ καὶ τῆς Ἀγγλίας βοηθείαν κτᾶσθαι πειρᾷ, ἐν νῷ ἔχων τὰς τοῦ Ἰρᾶν πυρηνικὰς ἐγκαταστάσεις διαφθείρειν πρὶν ταύτην τὴν χώραν τῷ Ἰσραῆλ προσβαλεῖν πυρηνικῇ βόμβᾳ χρωμένην.

## Joe Frazier has died / Lucas Papademos, new Prime Minister of Greece / Refroms in Italy

(12-11-11)

**Ὁ Ἰωσὴφ Φράζιερ ἀπέθανεν**

Ὁ Ἰωσὴφ Φράζιερ, ὁ πρῶτος πύκτης ὃς τὸν Κάσιους Κλέι ἐνίκησεν, ἀπέθανεν. ὁ Ι. Φ., ἐν τῇ Νοτίᾳ Καρολίνᾳ ἐκ πενήτων γονέων γενομένος, τὸ διδασκαλεῖον ἔτι νέος ὢν κατέλιπε καὶ πύκνης ἐγένετο, ἐν δὲ πᾶσι τοῖς ἀγῶσι νικήσας πρωταθλητὴς τῆς οἰκουμένης ῥᾳδίως ἐγένετο. ὅμως δὲ μεγάλην δόξαν ἐδέξατο οὐχ ἅτε πρωταθλητὴς γενόμενος ἀλλὰ διὰ τοὺς τρεῖς πρὸς τὸν Κάσιους Κλέι ἀγῶνας· ἐν δὲ τούτοις τοῖς τρισὶ ἀγῶσιν ὁ μὲν Ι. Φ. ἅπαξ ἐνίκησεν (οὗτος ὁ ἀγών "ὁ τῆς ἑκατονταετίας ἀγὼν" ἐκλήθη), καὶ εἰ ὁ Κ. Κ. ὑψηλότερος ἦν τοῦ Ι. Φ. δέκα ἑκατοστόμετρα, ὁ δὲ Κ. Κ. δὶς ἐνίκησεν. ὡς πολλοὶ ἄλλοι πρωταθληταί, ὁ Ι. Φ., καίπερ πολλὰ χρήματα δεξάμενος καὶ πλουσιώτατος γενομένος, τέλος πολὺν χρόνον νοσῶν πένης ἀπέθανεν.

**Ὁ Λούκας Παπαδήμος, νέος πρωθυπουργὸς τῆς Ἑλλάδος**

Ὁ Λούκας Παπαδήμος, ἑξήκοντα καὶ τέτταρα ἔτη γεγονώς, νέος πρωθυπουργὸς τῆς Ἑλλάδος ἐγένετο, τῆς δὲ χώρας ἄρξει ἕως αὖθις ἀρχαιρεσίαι ἂν γένωνται (λέγεται ὅτι τῷ Φεβρουαρίῳ). τοῦ Γ. Παπανδρέου ἐκ τῆς ἀρχῆς ἐκστάντος, δεῖ τοὺς νῦν ἐν τέλει τὰς οἰκονομικὰς παραινέσεις προσθεῖναι ἃς ἡ Εὐρωπαικὴ Ἕνωσις τῇ Ἑλλάδι παραινεῖ, λέγεται γὰρ ὅτι τούτων τῶν παραινεσέων μὴ προστεθεισῶν ἴσως ἡ Ἕλλας κινδυνεύσειεν ἂν ἐκ τοῦ Εὐρωπαικοῦ νομίσματος ἐκβῆναι.

**Ἐπανορθώσεις ἐν τῇ Ἰταλίᾳ**

Ὡς ἐν τῇ Ἑλλάδι, καὶ ἐν τῇ Ἰταλίᾳ δεῖ ἐπανορθώσεις τῷ οἰκονομικῷ συστήματι προσθεῖναι, τήμερον δὲ οἱ μὲν βουλευταὶ τῆς Ἰταλίας ἐψηφίσαντο τὰς οἰκονομικὰς ἐπανορθώσεις ἃς ἡ Εὐρωπαικὴ Ἕνωσις ταύτῃ τῇ χώρᾳ ἐπιτάττει, λέγεται δὲ νῦν ὅτι ὁ πρωθυπουργὸς Βερλουσκόνι ἐκ τῆς ἀρχῆς ἐκστήσεται ἵνα δυνατὸν ᾖ τοῦτο ποιεῖν. τοῦ Β. ἐκ τῆς ἀρχῆς ἐκστήσαντος, ἴσως ὁ Μάριος Μόντι, ἑξήκοντα καὶ ὀκτὼ ἔτη γεγονώς, νέος πρωθυπουργὸς γενήσεται.

## In Syria, every day citizens are killed by the soldiers / Gaddafi's son, captured / A. Merkel and D. Cameron, friendly disagreement

(19-11-11)

**Καθ' ἡμέραν ἀποθνῄσκουσι πολῖται ἐν τῇ Συρίᾳ ὑπὸ τῶν στρατιωτῶν**

Οἱ τοῦ Ἀσᾶδ στρατιῶται καθ' ἡμέραν ἀποκτείνουσιν ὅντινα τῷ προέδρῳ ἀνθιστῆται ἄν· χθὲς μὲν εἴκοσι καὶ δύο πολῖται ὑπὸ τῶν στρατιωτῶν ἀπέθανον, προχθὲς δὲ μαθητὴς μόνον τέτταρα καὶ δέκα ἔτη γεγονὼς ὑπ' αὐτῶν ἀπέθανεν, τόδε γὰρ συνέβη· οἱ μὲν τῷ Ἀσᾶδ ἐπικουροῦντες διαδήλωσιν παρεσκευάζοντο κατὰ τῆς Ἀραβικῆς Ἑνώσεως, οὗτος γὰρ ὁ ὀργανισμὸς βούλεται τοὺς τῆς Συρίας ἄρχοντας κολάζειν ἅτε τὴν ἀρχὴν οὐ καταλιπόντας, φύλακες δέ τινες εἰς διδασκαλεῖόν τι ἀφικόμενοι (ἐν τῇ κώμῃ Δεῖρ῀Αθ Θῶρ) τοὺς παῖδας οἳ

ἔτυχον τότε ἐκεῖ ὄντες ἐκέλευσαν πρὸς τὴν διαδήλωσιν ἀκολουθεῖν, ὅμως δὲ οἱ παῖδες οὐκ ἔφασαν τοῦτο ποιήσειν, ὁ δὲ Μουαμὰδ Ἄλ Μλάεσα, φερέφωνος τῶν μαθητῶν καταστάς, τοῖς στρατιώταις ἐναντιώσατο· φύλαξ τις πρὸς αὐτὸν ἐπυροβόλησε καὶ τὸν ὦμον ἔτρωσεν, ἔπειτα δὲ οἱ ἄλλοι φύλακες ξυλιναῖς βακτηρίαις τὸν παῖδα πολὺν χρόνον ἔκοψαν, τέλος δὲ αὖθις δὶς ἐπυροβόλησαν.

**Τὸν τοῦ Γαδάφι υἱὸν καταλαμβάνουσιν**

Ὁ τοῦ Γαδάφι υἱὸς Σαῖφ Ἄλ Ἰσλᾶμ τοῖς στασιώταις παρεδόθη. ὁμως δὲ οὐκ ἐν μάχῃ αὐτὸν κατέλαβον, ἀλλὰ τῷδε τῷ τρόπῳ· οἱ στασιῶται, νῦν ἐν τέλει ὄντες, ᾔσαν τὸν τοῦ Γαδάφι υἱὸν παρὰ τοῖς Τουάρεγ κρυπτὸν μένοντα, ἐκώλυσαν δὲ σιτοπομπίαν πρὸς τοὺς Τουάρεγ ἀφίκεσθαι καὶ οὐκ εἴασαν τὴν πορείαν διαβῆναι πρὶν οἱ Τουάρεγ τὸν Σ. Α. Ἰσλᾶμ αὐτοῖς παρέδοσαν. διαβεβαιοῦνται μὲν νῦν οἱ στασιῶται ὅτι δεῖ τὸν Σ. Α. Ι. κατὰ τοὺς διεθνεῖς νόμους δικάζειν, ὅμως δὲ οὐ λέγουσι πότερον ἐν Τῇ Χάγῃ δεῖ αὐτὸν δικάζειν ἢ ἐν τῇ Λυβίᾳ αὐτῇ.

**Ἡ Ἀγγέλη Μέρκηλ καὶ ὁ Δαβὶδ Καμέρων φιλικῶς ἀλλήλοις διαφέρονται**

Ἡ Α. Μέρκηλ, ἡ τῆς Γερμανίας ἄρχουσα, καὶ ὁ Δ. Καμέρων, ὁ τῆς Μεγάλης Βρετανίας πρωθυπουργός, ἐν τῷ Βερολίνῳ συνέβησαν χθὲς ὅπως περὶ τῆς Εὐρωπαϊκῆς οἰκονομίας διαλέγοιντο, ὅμως δὲ ὡς εἰκὸς οὐχ ὡμολογήσαντο, ἡ γὰρ Α. Μέρκελ συμβουλεύει εἰς τὴν Εὐρωπαϊκὴν οἰκονομίαν νόμους εἰσθεῖναι οἵτινες τὴν Εὐρωπαϊκὴν Τράπεζαν πολυπραγμονεῖν ἐῶσιν ἄν, ὁ δὲ Δ. Καμέρων τὴν αὐτὴν γνώμην οὐκ ἔχει, κατὰ γὰρ τὸν Βρετανικὸν πρωθυπουργὸν οὐ δεῖ τὴν Εὐρωπαικὴν Ἕνωσιν τῆς τῶν ἄλλων χωρῶν οἰκονομίας ἄρχειν.

## Large demonstration in Egypt / Three Eurpoean citizens kidnapped and one killed in Mali

(26-11-11)

**Μεγίστη διαδήλωσις ἐν τῇ Αἰγύπτῳ**

Μυρίοι πολῖται εἰς τὸ Καῖρο πανταχόθεν ἀφικόμενοι τῇ Παρασκευῇ ἐν τῇ ἀγορᾷ Ταρῖρ ἐνέστησαν τοῖς στρατηγοῖς οἳ νῦν, τοῦ Μουβάρακ ἐν τῆς ἀρχῆς ἐκπεσόντος, τῆς χώρας ἄρχουσιν, τοσοῦτοι δὲ πολῖται ἐκεῖσε εἰς τὴν ἀγορὰν συνῆλθον ὥστε λέγεται ὅτι αὕτη ἦν ἡ μεγίστη διαδήλωσις ἐν τῇ Αἰγύπτῳ ἐξ οὗ ὁ Μουβάρακ τὴν ἀρχὴν κατέλιπεν. οἱ μὲν διαδηλωταὶ τοὺς στρατηγοὺς τὴν ἀρχὴν αὐτίκα καταλιπεῖν ᾔτησαν, οἱ δὲ τοὐναντίον τότε τε καὶ νῦν, ὡς εἰκός, ἀρνοῦνται. ὡς συνελόντι εἰπεῖν, ἐξ οὗ αἱ διαδηλώσεις τῇ προσθίᾳ ἑβδομάδι ἤρξαντο, ἤδη τετταράκοντα καὶ εἷς ἄνθρωποι ἀπέθανον, πλεῖστοι αὐτῶν ἐν τῇ ἀγορᾷ Ταρῖρ, αὕτη δὲ ἡ ἀγορὰ καὶ αἱ περὶ αὐτῆς ἀγυιαῖ, τῶν τε διαδηλωτῶν λίθοις τοὺς στρατιῶτας βαλλόντων καὶ τῶν στρατιωτῶν τοῖς διαδηλοταῖς πυροβολούντων, τόπος τῷ μάχεσθαι γεγένηνται.

**Τρεῖς Εὐρωπαϊκοὺς πολίτας ἀπείργουσι καὶ ἄλλον τινὰ ἀποκτείνουσιν ἐν τῷ Μάλι**

Τρεῖς μὲν Εὐρωπαϊκοὶ πολῖται ἀπείρχθησαν ἐν τῇ πόλει Τομβουκτοῦ, ἐν τῇ ἄρκτῳ τοῦ Μάλι, ἄλλος δὲ ἀπέθανεν ὑπὸ τῶν ἀπειργόντων. οἱ τέτταρες Εὐρωπαϊκοὶ ἐν ὀψοπωλίῳ τινὶ ἔτυχον ὄντες ἐν τῷ τῆς πόλεως κέντρῳ κειμένῳ· καὶ δὴ καὶ τῆς αὐτῆς ἑβδομάδος ἄλλοι Εὐρωπαϊκοὶ πολῖται ἀπείρχθησαν, τῇ γὰρ Τετάρτῃ ὄχλος τις βίᾳ δύο Γαλάτας καταλαβὼν βίᾳ ἀπήνεγκον (οὐκέτι οὐδὲν ἄλλο περὶ τούτων οὐδεὶς ἀκήκοεν), προχθὲς δὲ τούτους τοὺς ἄλλους τέτταρας ἀπείρχθησαν· εἷς μὲν τούτων τοῖς ἀπειργοῦσι ἠναντιώθη καὶ υπ᾽ αὐτῶν ἀπέθανεν, οἱ δὲ ἄλλοι τρεῖς βίᾳ κατελήφθησαν. περὶ μὲν τούτων τῶν τεττάρων ἴσμεν μόνον ὅτι ὁ ἀποθανὼν Γερμανὸς ἦν, τὸ δὲ τῶν τριῶν ἄλλων ἐθνικὸν οὐκέτι ἴσμεν.

ἡ ἄρκτος τοῦ Μάλι ἐπικινδυνωτάτη ἐστιν, τὸ γὰρ῀Αλ Καῖδα ἐκεῖ μάλιστα ἐν τοῖς ἐπιχωρίοις δύναται· ἐξ οὗ οἱ εἱργμοὶ ἤρξαντο, οἱ μὲν τῶν Εὐρωπαϊκῶν χωρῶν ἄρχοντες συνεχῶς τοῖς ἑαυτῶν πολίταις συμβουλεύουσιν ὡς τάχιστα ἐπανελθεῖν, ὅμως δὲ πολλοὶ προαιροῦνται ἐκεῖ μένειν καίπερ ἐν κινδύνῳ ὄντες.

## Svetlana Stalina, Stalin's daughter, dies / Confrontation between UK and Iran / The Danube, unnavigable

(03-12-11)

**Ἡ Σβετλάνα Στάλινα, θυγατὴρ τοῦ Στάλιν, ἀπέθανεν**

Ἡ θυγάτηρ τοῦ σοβιετικοῦ δικτάτωρος Ἰωσήφου Στάλιν, ἡ Σβετλάνα Στάλινα, ἀπέθανεν ἐν τῷ Οὐισκόνσιν, ΗΑΠ. ἡ Σβετλάνα ἐν τῷ πανεπιστημίῳ τῆς Μόσχας μάθησιν ποιησαμένη διδάσκαλος ἐγένετο καὶ πολλὰ ἔτη ἐκεῖ ἐδίδασκεν· ὅμως δέ, ὅτε καιρὸς αὐτῇ ἐγένετο, ἐκ τῆς Σοβιητικῆς Ἑνώσεως πρὸς τὰς ΗΑΠ ἐξέφυγεν, ἐκεῖ δὲ πολλὰ ἔτη κατῴκησεν καὶ ἔνδοξον βίβλον ἐξέδωκεν (ἡ τῆς βίβλου ἐπιγραφὴ "Εἴκοσι ἐπιστολαὶ φίλῳ τινί" ἦν)· ἐν ταύτῃ τῇ βίβλῳ τὴν ἑαυτῆς ἐν τῇ ΣΕ δίαιταν διηγήσατο. ἐκεῖ μὲν ἐν ταῖς ΗΑΠ τετράκις ἐγήματο, ἔπειτα δὲ πρὸς τὴν Ἀγγλίαν ἐπορεύθη, οὗ δύο ἔτη κατῴκησεν· ἔπειτα δὲ πρὸς τὴν ΣΕ ἐπανῆλθεν, ἀλλὰ ἓν ἔτος ἐκεῖ κατοικήσασα ταχέως πρὸς τὰς ΗΑΠ αὖθις ἐπορεύθη.

**Τὸ Ἡνωμένον Βασίλειον καὶ τὸ Ἰρᾶν ἅμιλλαν ποιοῦνται**

Οἱ μὲν τοῦ Ἡνωμένου Βασιλείου ἄρχοντες, τοὺς ἑαυτῶν πρέσβεις ὡς τάχιστα ἐκ τοῦ Ἰρᾶν ἐξελθεῖν κελεύσαντες, τοὺς τοῦ Ἰρᾶν πρέσβεις ἐκ τοῦ ΗΒ ἐξέβαλον, τῇ δὲ ὑστεραίᾳ οἱ τοῦ Ἰρᾶν ἄρχοντες τὸ αὐτὸ ἐποίησαν. ἥδε ἐστὶν ἡ γένεσις ταύτης τῆς ἁμίλλης· πολλοὶ Ἰράνιοι πολῖται τὴν πρεσβείαν τὴν τοῦ ΗΒ ἐν τῇ Τεχεράνῃ ἄνευ λόγου κατὰ κράτος ἐξαίφνης εἷλον, ἤδη δὲ ἔνδον τοῦ οἰκήματος ὄντες τὸ τοῦ ΗΒ σημεῖον ἔκαυσαν καὶ πολλὰ γράμματα διέφθειραν. τούτου δὲ γενομένου καὶ τοῦ ἀγγέλματος ταχέως πρὸς τὸ Λονδίνον ἀφικομένου, οἱ Ἰράνιοι ἄρχοντες καρτερῶς διεβεβαιώσαντο ὅτι αὐτοὶ αἴτιοι οὐκ εἶεν· ὅμως δὲ οἱ Βρετανικοὶ ἄρχοντες διαβεβαιοῦνται ὅτι ἀληθῶς ἡ Ἰράνια ἀρχὴ τοὺς τὴν πρεσβείαν ἑλόντας ὠφέλησεν.

**Ὁ Δουνάβης ἄπλους γίγνεται**

Ὁ Δουνάβης, ὁ δεύτερος μακρότερος ποταμὸς τῆς Εὐρώπης, νεωστὶ ἄπλους ἐγένετο, οὐ γὰρ ὕει ἐν ταῖς χώραις διὰ ἃς ὁ πόταμος ῥεῖ (ἐν τῇ Ῥωμανίᾳ καὶ ἐν τῇ Σερβίᾳ καὶ ἐν τῇ Βουλγαρίᾳ), ταῖς δὲ ναῦσιν οὐκ ἔξεστι πλεῖν ἅτε τοῦ ποταμοῦ οὐχ ἱκανὸν ὕδωρ ἐχόντος, νῦν δὲ δεῖ πολλὰς ναῦς τὸ φόρημα πρὸς τὸν σιδηροδρόμον μεταφέρειν. καὶ δὴ καί, ἐν τῇ Σερβίᾳ ἔνιαι νῆες αἳ ἐπὶ τῷ βάθει πολλὰ ἔτη ἔκειντο ἐξ οὗ ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ κατεδύθησαν αὖθις τὸ τοῦ ἡλίου φῶς ὁρῶσιν.

## New treaty in the European Union / Demonstrations in Russia

(10-12-11)

**Νέα συνθήκη ἐν τῇ Εὐρωπαϊκῇ Ἑνώσει**

Ὁ Γάλλος πρόεδρος Νικολάος Σαρκοζὶ ἤγγειλε τῇ Παρασκευῇ ὅτι εἴκοσι καὶ τρεῖς χῶραι αἳ τῆς Εὐρωπαϊκῆς Ἑνώσεως μετέχουσι συμπράττειν βούλοιντο ἀλλήλαις ἐν τῇ νέᾳ συνθήκῃ ἣ γραπτέα ἐστὶν ἵνα τὸ Εὖρο (τὸ Εὐρωπαϊκὸν νόμισμα) σῶσαι πειρῶσιν. δεδογμένον δὲ ἐν συνόδῳ ἐν ταῖς Βρουξέλεσι ταύτην τὴν νέαν συνθήκεν γράφειν, ταῦτα ἀκούσαντες διαβεβαιοῦνται νῦν οἱ ἔμπειροι τῆς οἰκονομίας ὅτι τοῦτο τὸ αὐτό ἐστι καὶ τὴν Εὐρωπαϊκὴν Ἕνωσιν αὖθις πλάττειν. αὕτη μὲν ἡ νέα συνθήκη νέους νόμους τῇ οἰκονομίᾳ τῇ ἑκάστης τῶν ὑπογραφουσῶν χωρῶν ἐπιθήσει, καὶ δὴ καὶ κατὰ τὴν συνθήκην δεήσει τοὺς ἑκάστης τῆς χώρας προέδρους ἅπαξ κατὰ μηνὰ ἀθροίζεσθαι.

τὸ μὲν Ἡνώμενον Βασίλειον τὴν συνθήκην οὐχ ὑπογράψεται, λέγουσι γὰρ οἱ Βρετανικοὶ ἄρχοντες ὅτι εἰ ταύτην τὴν συνθήκην ὑπογράψαιεν τὴν Βρετανικὴν οἰκονομίαν ἀναγκαίως βλάψαιεν ἄν, οὐδὲ ἡ Οὐγγαρία αὐτὴν ὑπογράψει· δύο ἄλλαι χῶραι, ἥ τε Σουηδία καὶ ἡ Τσεχία, οὐκέτι γιγνώσκουσι πότερον δεῖ τὴν συνθήκην ὑπογρᾶψαι ἢ οὔ, βούλονται γὰρ περὶ τούτου τῇ ἑαυτῆς βουλῇ συμβουλεύειν πρὶν τὸ τελευταῖον βούλευμα τῇ δημοσιότητι εἰπεῖν.

κατὰ τὸν Σαρκοζὶ δεῖ τὴν νέαν συνθήκην τῷ Μαρτίῳ μηνὶ ἑτοίμην εἶναι.

**Διαδηλώσεις ἐν τῇ Ῥωσσίᾳ**

Μυρίοι πολῖται διεδήλωσαν τήμερον τῷ Σαββάτῳ ἐν τῇ Μόσχῃ, τὴν δὲ μακροτάτην διαδήλωσιν ἐποιήσαντο ἐξ οὗ ὁ Ποῦτιν εἰς τὴν ἀρχὴν ἀφίκετο. οἱ διαδηλωταὶ ἐνέστησαν τῷ ἐκ τῶν ἀρχαιρεσιῶν ἀποβαίνοντι, νομίζουσι γὰρ τοὺς ἄρχοντας τὸ ἀληθὲς ἀποβαῖνον κρύπτειν καὶ ψεύδεσθαι λέγοντας ὅτι ἡ τοῦ Ποῦτιν μερὶς νενίκηκεν. οἱ μὲν διαδηλωταὶ τῷ πρωὶ τὴν ἀγορὰν Βολίτναιαν κατέσχον, ἐν τῷ τῆς πόλεως κέντρῳ κειμένην, οἱ δὲ ἄρχοντες πέντε μυριάδας φυλάκων κατὰ τὴν πόλιν διεσκέδασαν· ἔπειτα δὲ ὁ Ποῦτιν τοῖς

δημοσιογράφοις διαλεγόμενος τὸ αὐτὸ εἶπε καὶ ὁ Ἀσᾶδ ἐν τῇ Συρίᾳ, ὅτι ἄλλαι χῶραι τὰς διαδηλώσεις ἐποτρύνοιεν.

καὶ ἐν πεντήκοντα ἄλλαις πόλεσι οἱ πολῖται τῷ Ποῦτιν διεδήλωσαν, οἷον μύριοι ἐν τῇ Ἁγίᾳ Πετροπόλει.

## Christian Bale, mistreated in China / “Carlos the Jackal”, sentenced again
(17-12-11)

### Ὁ Χριστιάνος Βάλη ἐν τῇ Σίνῃ ὑβρίζεται

Οἱ Κινεζικοὶ φύλακες τὸν ἔνδοξον ἠθοποιὸν Χριστιάνον Βάλη ἐκώλυσαν τῷ Σιὴν Γουανσιὴγ συνελθεῖν (ὁ Σ. Γ. Κινεζικὸς πολίτης ἐστὶν ὃς τοῖς ἐκεῖ ἐν τέλει ἀνθίσταται). οἱ μὲν φύλακες τόν τε Βάλη εἰς τὴν τοῦ Σ. Γ. οἰκίαν εἰσελθεῖν πειρῶντα συνεχῶς ἐξέωσαν καὶ ἄλλους δημοσιογράφους, καὶ δὴ καὶ ἐπειράσαντο ἀπὸ τῶν τοῦ CNN δημοσιογράφων τηλεοπτικὴν μηχανὴν βίᾳ ἀφελεῖν καὶ ἄλλην τινὰ ἀπὸ τοῦ ἠθοποίου αὐτοῦ, ἅμα δὲ ὠθοῦντες αὐτὸν οἱ φύλακες μέγα ἐβόησαν "ἄπιθι", ὁ δὲ αὐτοῖς τοῦτο βοῶσιν τόδε ἀπεκρίνατο· "ἆρα διὰ τί οὐκ ἔξεστί μοι τοῦτον τὸν ἐλευθερὸν ἄνδρα ἰδεῖν; βούλομαι τοῖς πολίταις οἳ τοῖς ἐν τέλει ἀνθίστανται ἐπικουρεῖν".

ὁ μὲν Σ. Γ., ἤδη τετταράκοντα ἔτη γεγονώς, τυφλὸς ἐκ παιδός ἐστιν κακίστου νόσου ἕνεκα, οἱ δὲ τῆς Σίνης ἄρχοντες καίπερ αὐτὸν εἰς τὸ δεσμωτήριον οὐκ ἐμβαλόντες ἅτε τυφλὸν ὄντα οὐκ ἐῶσιν ἐκ τῆς ἑαυτοῦ οἰκίας ἐξελθεῖν καὶ τοὺς ξένους κωλύουσιν αὐτῷ συνελθεῖν· ὁ δὲ Χ. Β. πρωταγωνιστής ἐστι τοῦ κινηματογραφικοῦ ἔργου "Τὰ τοῦ πολέμου ἄνθη".

### Τοῦ "Καρόλου τοῦ Τσακάλι" αὖθις καταδικάζουσιν

Ὁ τρομοκράτης Ἰλὶζ Ῥαμίρεθ Σάνσιεθ, "Κάρολος ὁ Τσακάλι" καλούμενος, ἤδη ἑξήκοντα καὶ δύο ἔτη ἐν τῇ Βενεζουέλῃ γεγονώς, προχθὲς ἐν τῷ Παρίσι ἰσόβιον δεσμὸν κατεδικάσθη τρομοκρατικῶν προσβολῶν ἕνεκα αἳ πάλαι ἐν τῇ αὐτῇ πόλει ἐγένοντο (ἕνδεκα μὲν ἄνθρωποι ἀπέθανον, πολλοὶ δὲ ἄλλοι ἐτρώθησαν)· ὅμως δὲ ὁ Καρόλος ἤδη ἐν τῷ δεσμωτηρίῳ ἐν τῇ

Γαλατίᾳ ἔκειτο ἄλλων φόνων ἕνεκα, δύο γὰρ φύλακας πάλαι ἀπέκτεινε (καὶ ἐν τῷ Παρίσι) ἄλλη προσβολῇ.

ὁ Κάρολος ἔνδοξος μὲν ἐγένετο παρὰ τὸν "Ψυχρὸν Πόλεμον", ἐπεκουρήθη δὲ ὑπὸ τῆς Σοβιετικῆς Ἑνώσεως· τότε δὲ πολλὰς μὲν τρομοκρατικὰς προσβολὰς ἔπραξε διὰ πάσης τῆς Εὐρώπης ἕως ἐν τῷ Σουδᾶν κατελήφθη· ἔπειτα δὲ καταληφθεὶς πρὸς τὴν Γαλατίαν προσηνέχθη.

## Boko Haram kills 140 people / France cancels military activity in Afghanistan / The captain left the ship

(22-01-12)

**Ἑκατὸν καὶ τετταράκοντα ἀποθνῄσκουσιν ὑπὸ τῆς Βόκο Ἅραμ**

Ἡ μὲν τρομοκρατικὴ ὁμὰς Βόκο Ἅραμ ἑκατὸν καὶ τετταράκοντα ἀνθρώπους ἀπέκτεινεν ἐν τῇ πόλει Κάνῳ, ἐν τῇ Νιγερίᾳ, οἱ δὲ ταύτης τῆς πόλεως ἄρχοντες, φοβούμενοι μὴ οἱ τρομοκράται ἄλλας ἐπιβολὰς πειρήσαιεν, τοὺς πολίτας ἀπεῖπον ἐκ τῶν οἰκιῶν ἐξελθεῖν. ἡ Βόκο Ἅραμ τρομοκρατικὴ ὁμάς ἐστιν ἣ πειρᾶται τοὺς ἰσλαμικοὺς νόμους ἐπὶ τὴν χώραν βίᾳ ἐπιθεῖναι (τὸ ὄνομα "Βόκο Ἅραμ" σημαίνει "ἡ μὴ ἰσλαμικὴ παιδεία ἁμάρτημά ἐστιν"). ἐν τῇ Νιγερίᾳ οἱ μὲν πλεῖστοι τῶν ἐν τῇ ἄρκτῳ οἰκούντων μουσουλμανικοί εἰσιν, οἱ δὲ πλεῖστοι τῶν ἐν τῇ μεσημβρίᾳ οἰκούντων χριστιάνοι εἰσίν, πολλοὶ δὲ πολῖται τάυτην τὴν χώραν καταλιπεῖν πειρῶσιν ἵνα ταύτας τὰς ἁμίλλας ἀποφεύγωσιν.

**Ἡ Γαλατία οὐκέτι στρατεύεται ἐν τῷ Ἀφγανιστᾶν**

Χθὲς Ἀφγανός τις στρατιώτης τέτταρας Γαλλικοὺς στρατιώτας ἐξαίφνης ἀπέκτεινεν. πάντες μὲν οἱ στρατιῶται, οἵ τε Ἀφγανοὶ καὶ οἱ Γαλλικοί, ἐν τῷ αὐτῷ στρατοπέδῳ ἦσαν, οἱ γὰρ Γαλλικοὶ στρατιῶται ἐκεῖ πάρεισιν ἵνα τοὺς Ἀφγανοὺς τὰ στρατιωτικὰ διδάσκωσιν, ἐξαίφνης δὲ καὶ ἀπροσδοκέτως Ἀφγανός τις στρατιώτης ἐπὶ τοὺς Γαλάτας ἐπυροβόλησεν. ὁ πρόεδρος Σαρκοζί, περὶ τούτου αἰσθόμενος, αὐτίκα εἶπεν μὲν ὅτι τὴν τῷ Ἀφγανῷ στρατεύματι βοήθειαν ἀναιρήσοι, τὸν δὲ τῆς Ἀμύνης Ὑπουργὸν πρὸς τὸ Ἀφγανιστᾶν

ἀπέπεμψεν ἵνα περὶ τούτων τῶν γενομένον αἴσθοιτο. ἤδη ὀγδοήκοντα καὶ δύο Γαλλικοὶ στρατιῶται ἀπέθανον ἐν τῷ Ἀφγανιστᾶν, ὁ δὲ Σαρκοζὶ συννοεῖ πότερον δεῖ τοὺς Γαλλικοὺς στρατιώτας ἐκ ταύτης τῆς χώρας ἐξελαύνειν ἢ οὔ.

### Ὁ ναύαρχος τὴν ναῦν κατέλιπεν

Ἰταλιανὴ ναῦς, Κόστα Κογκόρδια ὀνόματι, κατέδυ ἐγγὺς τῆς παραλίας ἐν τῇ Ἰταλίᾳ· πάντες μὲν ἴσμεν ὅτι ἐπειδὰν τοῦτο γένηται δεῖ τὸν ναύαρχον ἐκεῖ ἐπὶ τῇ νηὶ μένειν καὶ τοὺς ἐπιβάτας ὠφελεῖν, ὅμως δὲ οὐχ οὕτως ἔπραξεν ὁ ναύαρχος, ἀλλὰ τὴν ναῦν κατέλιπεν καίπερ πολλῶν ἐπιβατῶν ἐκεῖ ἔτι μενόντων. οἱ μὲν Ἰταλιανοὶ φύλακες ἤδη τρισκαίδεκα σώματα ηὑρήκασιν, ὅμως δὲ ἄλλοι ἐννεακαίδεκα ἐπιβάται ἠφανίσθησαν.

## Soldiers who killed Bin Laden now free hostages in Somalia / New letters of Dickens, published / Does Chavez's daughter love dollars?

(29-01-12)

### Οἱ τὸν Βὶν Λάδεν ἀποκτείναντες νῦν δεσμώτας ἐν τῇ Σωμαλίᾳ ἐλευθεροῦσιν

Οἱ ΣΕΑΛΣ, οἱ αὐτοὶ στρατιῶται οἳ τὸν Βὶν Λάδεν τὸ πέρυσιν ἀπέκτειναν, ἠλευθέρωσαν νεωστὶ ἑσπερίους τινὰς δεσμώτας οὓς οἱ Σωμάλιοι λῃσταὶ βίᾳ ἀπετεθνήκεσαν. οἱ Ἀμερικανοὶ στρατιῶται δυοῖν ἢ τρισὶν ἑλικοπτέροις ἐχρήσαντο ἐξ ὧν χαμᾶζε κατέβησαν καὶ τοῖς λῃσταῖς μαχησάμενοι τοὺς δεσμώτας ῥᾳδίως τε καὶ ταχέως ἠλευθέρωσαν. τούτου ἤδη τελευτήσαντος καὶ πάντων τῶν δημοσιογράφων ἐρωτώντων, ὁ τῶν ΣΕΑΛΣ φερέφωνος εἶπεν ὅτι οὐδεὶς μὲν τῶν στρατιωτῶν ἀποθάνοι, ἐννέα δὲ τῶν λῃστῶν ἀποθάνοιεν· ἔπειτα δὲ ὁ Λεὼν Πανέττα, ὁ τοῦ Πενταγώνου ἄρχων, τὸ αὐτὸ πάλιν εἶπεν.

### Νέας ἐπιστολὰς τοῦ Δίκενς ἐκδιδόασιν

Τὸν ἐνδοξότατον συγγραφέα Κάρολον Δίκενς πάντες γιγνώσκουσιν, αἱ γὰρ βίβλοι ὑπὸ αὐτοῦ γραφεῖσαι κατὰ πᾶσαν τὴν οἰκουμένην ὑπὸ πάντων ἀναγιγνώσκονται· ὅμως δὲ οὐ μὲν πάντες ἀκηκόασι περὶ τῶν τοῦ συγγραφέως ἐρώτων, νῦν δὲ πλείω εἰδέναι ἡμῖν ἔξεστιν ἐπιστολῶν

τινῶν εὑρεθεισῶν· ὁ Δίκενς δύο συστήματα ἐπιστολῶν ἔγραψεν· ἔτι μὲν νεανίας ὢν τῆς Μαρίας Βέαδνελ ἠράσθη, ἀλλὰ οἱ ταύτης τῆς κόρης γονεῖς αὐτὴν πρὸς τὸ Παρίσι ἀπέπεμψαν ἵνα τοῦ Δίκενς ἐπιλάθοιτο ἅτε πένητος ὄντος, διὰ δὲ τοῦτο ἐξῆν τῷ συγγραφεῖ μόνον ἐπιστολὰς πρὸς αὐτὴν πέμπειν (τότε δὲ τὸ πρῶτον σύστημα ἐπιστολῶν ἔγραψεν)· ἔπειτα δὲ ὁ Δίκενς, ἤδη ἄλλην τινὰ γυναῖκα γεγαμηκώς, τῇ Μαρίᾳ Β. αὖθις συνέτυχεν (τότε δὲ τὸ δεύτερον σύστημα ἐπιστολῶν ἔγραψεν). νῦν δὲ πάσας τὰς ἐπιστολὰς ἐκδώσουσιν ἐν νέᾳ βίβλῳ, τῷ γὰρ Φεβρουαρίῳ μηνὶ βούλονται οἱ νῦν συγγραφεῖς τὸν Δίκενς τιμᾶν καὶ πάντας ἀναμιμνῄσκειν ὅτι ταύτῃ τῇ μηνὶ ἤδη διακοσιοστὸν ἔτος ὁ Δίκενς ἐγένετο.

**Ἆρα ἡ τοῦ Ζάβες θυγάτηρ τοὺς δολάρους φιλεῖ;**

Ἡ Ῥοσινὴ Ζάβες, τετταρακαίδεκα ἔτη γεγονυῖα καὶ θυγάτηρ τοῦ τῆς Βενεζουέλης προέδρου, τοὺς ταύτης τῆς χώρας πολίτας ἐτάραξε χθές, εἰς γὰρ τὴν ἑαυτῆς σελίδα τοῦ καλουμένου Facebook φωτογραφίαν ἀνέπεμψεν ἐν ᾗ ἔξεστι αὐτὴν ἰδεῖν πολλοὺς δολάρους ἐν τῇ χειρὶ ἔχουσαν. τοῖς τῆς Βενεζουέλης πολίταις χαλεπώτατόν ἐστι δολάρους κτᾶσθαι, καὶ δὴ καὶ θαυμάζουσι νῦν οἱ πολῖται πότερον ἡ Ῥοσίνη τοῦτο ἐκ προνοίας ἐποίησεν ἵνα τὸν πατέρα βλάψειεν ἢ οὔ.

## A lider of the Khmer Rouges gets life sentence / Russia and China oppose to condemnation against Syria / Will Israel attack Iran?

(05-02-12)

**Ἄρχοντός τινος τῶν Ἐρυθρῶν Χμέρων εἰς ἀεὶ καταδικάζουσιν**

Ὁ Καῒγγ Γουὲν Ἐᾶβ, καλούμενος "Δοῦκ", εἰς ἀεὶ ἐν τῷ δεσμωτηρίῳ μενεῖ. οὗτος ὁ ἄνθρωπος ἄρχων ἦν τοῦ δεσμωτηρίου τότε καλουμένου "Σ εἴκοσι και ἕν", ἐν ᾧ μύριοι ἄνθρωποι ἀδίκως ἀπέθανον. πρῶτον μὲν οἱ δικασταὶ τοῦ Δοῦκ κατέγνωσαν ἐννεακαίδεκα ἔτη ἐν τῷ δεσμωτηρίῳ μένειν· ὅμως δέ, τῶν περιόντων ταύτην τὴν κόλασιν μείονα οὖσαν νομιζόντων ἢ τὸ μέτριον καὶ σφόδρα ἐνισταμένων, αὐτὸν εἰς ἀεὶ κατέγνωσαν. τῶν Ἐρυθρῶν Χμέρων ἐν τῇ ἀρχῇ ὄντων, ἑπτὰ ἑκατομμυρία ἀνθρώπων ᾤκοῦντο ἐν τῇ Καμβοδία, τούτων δὲ οἱ Ἐρυθροὶ Χμέρες δύο ἑκατομμύρια ἀπέκτειναν· τοσούτους ἀνθρώπους τῆς ἑαυτῶν χώρας

ἀπέκτειναν ὥστε οἱ τὴν ταύτης τῆς χώρας ἱστορίαν συγγράφοντες τοῦτο "αὐτογενοφόνον" καλοῦσιν (νέον λόγον ἐπινοεῖν ἐδέησεν). ὁ αἰτιώτατος τούτου τοῦ φόνου, ὁ Πὸλ Πότ, ἐν τῇ ὕλῃ ἀπέθανεν οὗ ἐκρύπτετο, ἐκ γὰρ τῆς ἀρχῆς ἐκβληθεὶς καὶ ἀποφυγὼν τοὺς διώκοντας πολλὰ ἔτη ἐλάνθανεν ἐκεῖ σὺν τοῖς περὶ αὐτοῦ μένων.

**Ἥ τε Ῥωσσία καὶ ἡ Σίνα τὴν Συρίαν μέμφεσθαι οὐ βούλονται**

Ὁ Ἡνωμένων Ἐθνῶν Οργανισμὸς αὖθις ἐπειράσατο ἐπιστολὴν συγγράφειν ἵνα τοὺς φόνους τοῦ τῆς Συρίας προέδρου Ἀσσᾶδ μέμφηται, ὅμως δὲ αὖθις ἥ τε Ῥωσσία καὶ ἡ Σίνα τοῦτο ἐκώλυσαν. τῇ μὲν Παρασκευῇ οἱ τοῦ Ἀσᾶδ στρατιῶται διακοσίους καὶ ἑξήκοντα ἀνθρώπους ἐν τῇ πόλει ῏Ομς ἀπέκτειναν, ὁ δὲ Ἀσᾶδ τούτου τοῦ φόνου "τοὺς ξένους τρομοκράτας" ᾐτιάσατο. καίπερ τοῦ ΗΕΟ τὸν Ἀσᾶδ μέμφεσθαι σφόδρα βουλομένου, ἡ Ῥωσσία οὐ μόνον ταύτην τὴν ἐπιστολὴν ὑπογράψαι οὐκ ἐβουλήθη ἀλλὰ καὶ τῷ Ἀσᾶδ ὅπλα τε καὶ μαχητικὰ ἀεροσκάφη ἐπώλησεν.

**Ἆρα ἐπιθήσεται τὸ Ἰσραῆλ τῷ Ἰρᾶν;**

Ὁ Λέων Πανέττα, ὁ τῆς ἀμύνης Ἀμερικανὸς ὑπουργός, εἶπε νεωστὶ ὅτι ἴσως τὸ Ἰσραῆλ τῷ Ἰρᾶν ἐπιθήσοιτο τῷ μηνὶ Μαίῳ ἢ Ἰουνίῳ πρὶν τὸ Ἰρᾶν οἷόν τ᾽ ᾖ ἂν ἀτομικὴν βόμβαν κτᾶσθαι, ὁ γὰρ τοῦ Ἰρᾶν πρόεδρος πολλάκις εἶπεν ὅτι δέοι τὸ Ἰσραῆλ ἐκ τῆς οἰκουμένης ἐξῶλες ποιεῖσθαι. ἡ ἐν τῇ Συρίᾳ στάσις πάντα ἔτι χαλεπωτέρα ποιεῖται, αἱ μὲν γὰρ ΗΑΠ τοῖς στασιώταις ἐπικουροῦσιν, οἱ δέ, τὸν Ἀσᾶδ ἐκ τῆς ἀρχῆς τῷ μέλλοντι ἐκβαλόντες, ἴσως τῷ Ἰρᾶν ἐπιθεῖσθαι βουληθεῖεν ἄν. νῦν μὲν αἱ ΗΑΠ τῷ Ἰρᾶν μόνον οἰκονομικὰ ἐπιτίμια ἐπιτιθέασιν, ἀπεκρίνατο δὲ νεωστὶ ὁ τοῦ Ἰρᾶν πρόεδρος ὅτι, ἐὰν αἱ ΗΑΠ πλείονα ἐπιτίμια ἐπιτιθῇ, τὸ Ἰρᾶν τὸν τοῦ Ὁρμοῦθ πορθμὸν κλείσοι.

## Strike in Greece / Chinese poet sentenced to 7 years / Whitney Houston dies

(12-02-12)

**Ἀπεργία εν τῇ Ἑλλάδι**

Ἐν τῇ Ἑλλάδι τοῖς ἐργασταῖς ἔδοξεν δύο ἡμέρας ἀπεργεῖν ἵνα τοῖς οἰκονομικοῖς τῆς Εὐρωπαικῆς Ἑνώσεως νόμοις ἐπὶ τὴν Ἑλλάδα ἐπιτεθεῖσιν ἐνίστασθαι, κατὰ γὰρ τὴν Εὐρωοαικὴν Ἕνωσιν δεῖ τὴν Ἑλλάδα νέους οἰκονομικοὺς νόμους ἐπιθεῖναι ἐὰν αὕτη ἡ χώρα βούληται πλείω χρήματα κτᾶσθαι. τήμερον μὲν ἐν ταῖς Ἀθήναις οὐκ ἔξεστι πορεύεσθαι, τὰ γὰρ λεωφορεία οὐ τρέχει, αἱ δὲ νῆες αἳ τὴν ἤπειρον ταῖς νήσοις καθ' ἡμέραν συνάγουσιν ἐν τοῖς λιμέσιν ἀργαὶ μένουσιν. ὅμως δὲ ἔξεστι ἀεροσκάφει πορεύεσθαι, οἱ γὰρ τὴν ἐναέριαν κυκλοφορίαν φυλάττοντες οὐκ ἀπεργοῦσιν. τῇ Παρασκευῇ ἐν ταῖς Ἀθήναις, μεγάλης διαδηλώσεως γενομένης, ἔνιοι πολῖται ἐτρώθησαν καὶ μεγάλη ταραχὴ ἐν τῷ κέντρῳ ἐγένετο. τούτου γενομένου εἶπεν ὁ τῆς ἀρχῆς φερέφωνος ὅτι μυρίους φύλακας εἰς τε τὰς Ἀθήνας καὶ ἄλλας πόλεις πέμψοιεν ἵνα τὴν ταραχὴν κωλύοιεν. ὅμως δὲ τήμερον αὖθις τὸ αὐτὸ ἐγένετο, ἄλλῃ τε καὶ πρὸ τῆς Βουλῆς αὐτῆς ἐν τῇ ἀγορᾷ Συντάγματι.

**Κινεζικὸν ποιητὴν ἑπτὰ ἔτη καταγιγνώσκουσιν**

Οἱ Κινεζικοὶ δικασταὶ τὸν ποιητὴν Ζοῦ Ἰουφοῦ ἑπτὰ ἔτη ἐν τῷ δεμωτηρίῳ κεῖσθαι κατέγνωσαν ἅτε ποίημα "Καιρός ἐστιν" καλούμενον γράψαντα ἐν ᾧ τοὺς πολίτας ἐποτρύνει ὑπὲρ τῆς δημοκρατίας μάχεσθαι. οἱ διώκοντες τὸν Ζ. Ι. ᾐτιάσαντο ὡς βουλόμενον τῇ Κίνῃ τὸ αὐτὸ καὶ ἐν ταῖς Ἀραβικαῖς χώραις ἐγένετο καὶ ἅτε ξένοις δημοσιογράφοις συντυχόντα καὶ ἅτε χρήματα αἰτήσαντα ἵνα ἄλλους ἐνισταμένους ἤδη πάλαι καταληφθέντας ὠφελοίη. καὶ δὴ καὶ ἄλλοι τρεῖς ἐνιστάμενοι νεωστὶ καταληφθέντες ταύτῃ τῇ ἑβδομάδι κατεγνώθησαν. ὁ Ζ. Ι., πεντήκοντα καὶ ὀκτὼ ἔτη γεγονώς, ἤδη πάλαι ἔτι νέος ὢν ἐν τῷ δεσμωτηρίῳ ἔνια ἔτη ἔκειτο τοῦ αὐτοῦ πράγματος ἕνεκα.

**Ἡ Οὐίτνει Χιούστον ἀποθνῄσκει**

Ἡ Ἀμερικανὴ ᾠδὸς Οὐίτνει Χιούστον ἀπέθανε τήμερον πρωὶ ἐν πανδοκείῳ τινὶ ἐν Τοῖς Ἀγγέλοις. οἱ μὲν φύλακες οἳ τὸ σῶμα ηὗρον οὐκέτι εἶπον διὰ ὅ τι ἡ ἔνδοξος ᾠδὸς ἀποθάνοι, ὅμως δὲ εἶπον ὅτι βίας τεκμήρια οὐχ εὕροιεν. ἡ Ο. Χ., τετταράκοντα καὶ ὀκτὼ ἔτη γεγονυῖα, ἐν Τοῖς Ἀγγέλοις οὖσα ἔτυχεν ἅτε μέλλουσα ἐν τῇ τῶν Γράμμι ἄθλων ἑορτῇ ᾄσεσθαι.

## Four football referees, sentenced to imprisonment in China / 200 elephants, killed in Cameroon / Rome rejects organising Olympic Games

(19-02-12)

**Τέτταρες Κινεζικοὶ ποδοσφαιρικοὶ βραβευταὶ εἰς τὸ δεσμωτήριον ἐμβάλλονται**

Ἐν τῇ Κίνῃ, οἱ δικασταὶ τέτταρας ποδοσφαιρικοὺς βραβευτὰς εἰς τὸ δεσμωτήριον ἐνέβαλον ἅτε χρήμασι διαφθαρέντας, οὗτοι γὰρ οἱ βραβευταὶ πολλάκις χρήματα ἐδέξαντο ἵνα τοὺς ποδοσφαιρικοὺς ἀγῶνας διαφθείροιεν καὶ οὕτως τοὺς νικηφόρους αἱροῖντο. ἐν δὲ ἐκείνῃ τῇ χώρᾳ πάντες μὲν τοσοῦτο περὶ τούτου ἤδη πάλαι ᾖδεσαν ὥστε ἡ τηλεόρασις τοὺς ἀγῶνας οὐκέτι ἐδείκνυ, πάντες γὰρ ᾔδεσαν ἥτις ὁμὰς ἐν τῷ ἀγῶνι νικήσοι, οἱ δὲ θεαταὶ ἄλλο τι θεᾶσθαι προῃροῦντο· τέλος δὲ τοῦτο τὸ πρόβλημα τοσοῦτο ηὔξησεν ὥστε τοῖς ἐν τέλει ἔδοξεν ἐν τῷ ποδοσφαιρικῷ κόσμῳ κάθαρσιν ποιεῖσθαι, περὶ δὲ τοῦ τῶν βραβευτῶν ἤρξαντο.

**Διακοσίους ἐλέφαντας ἐν τῷ Καμεροῦν ἀποκτείνουσιν**

Ὁ ὅρος μεταξὺ τοῦ Καμεροῦν καὶ τοῦ Τσᾶδ ἐπίκεντρον ἐστὶ οὗ οἱ στρατιῶται τούτων τῶν χωρῶν ἀλλήλοις συμβαίνουσιν, ἐν δὲ ὕλῃ τινὶ ἐγγὺς τοῦ ὅρου κειμένῃ, ἐν τῷ Καμεροῦν, τοὺς διακοσίων ἐλεφάντων νεκροὺς ηὑρήκασι τοὺς χαυλιόδοντας οὐκέτι ἔχοντας, οἱ γὰρ στρατιῶται τοὺς μὲν χαυλιόδοντας λαμβάνουσιν ἵνα παρὰ τὸν νόμον πωλῶσιν, τοῖς δὲ χρήμασι οὕτως κτηθεῖσιν ὅπλα ὠνοῦνται καὶ τῷ πολέμῳ τέλος οὐκ ἐπιτιθέασιν.

**Ἡ Ῥώμη τὰ Ὀλύμπια παρασκευάζειν οὐ βούλεται**

Ὡς ἐπὶ τὸ πολὺ πᾶσαι αἱ πόλεις βούλονται τὰ Ὀλύμπια παρασκευάζειν καὶ ἀλλήλαις διπλωματικῶς περὶ τούτου ἅμιλλαν ποιοῦνται, ὅμως δὲ νῦν ἡ Ῥώμη, καίπερ πολὺν χρόνον τοῦτο ἐν νῷ σχοῦσα, οὐ βούλεται τοῦτο ποιεῖσθαι, λέγουσι γὰρ οἱ Ἰταλοὶ ἄρχοντες ὅτι τιμιώτατον μὲν ἐστι, ἡ δὲ οἰκονομία νῦν ἐκεῖ οὐχ ὑγιαίνει (οὐδαμοῦ ὑγιαίνει). ἔνιοι μὲν λέγουσιν ὅτι τὰ Ὀλύμπια παρασκευάζειν τὴν παρασκευάζουσαν πόλιν αὐξάνει, ἄλλοι δὲ ὅτι τὴν παρασκευάζουσαν πόλιν εἰς πενίαν καθίστησιν, ἡ δὲ τῶν Ἰταλῶν πολιτῶν γνώμη δίχα κεῖται περὶ τούτου, πότερον δεῖ τοσαῦτα χρήματα τούτῳ ἀναλίσκειν ἢ οὔ.

## Violence increases in Afghanistan / Nelson Mandela, in hospita / War goes on in Homs

(26-02-12)

**Τὰ βίαια αὐξάνεται ἐν τῷ Ἀφγανιστᾶν**

Πολλοὶ ἄνθρωποι καθ' ἡμέραν διαδηλοῦνται πολλαχόθι ἐν τῷ Ἀφγανιστᾶν ἐπὶ τὰς ΗΑΠ βοῶντες καὶ ἀπειλοῦντες, μέμφονται γὰρ ὅτι στρατιῶταί τινες τὸ Κοράνιον εἰκῇ ἔκαυσαν ἐν Ἀμερικανῷ στρατοπέδῳ ἐγγὺς τῆς πόλεως Βάγραμ κειμένῳ, ὀκτὼ δὲ ἄνθρωποι ἀπέθανον καὶ πολλοὶ ἄλλοι ἐτρώθησαν τούτων τῶν διαδηλώσεων ἕνεκα. ἡ μὲν Ἀμερικανὴ ἀρχή, τὰ βίαια τελευτᾶν πειρωμένη, τοὺς μὲν στρατιώτας τὸ Κοράνιον καύσαντας ἐμέμψατο, οἵτινες οὗτοι ἂν ὦσιν, ὑπέσχετο δὲ εὑρήσειν τίνες τοῦτο ποιήσαιεν καὶ κολάζειν· ὅμως δὲ τὰ μὲν βίαια τέλος οὐκ ἔχει, οἱ δὲ Ταλιβάνες τοὺς Ἀφγανοὺς πολίτας αἰτοῦσιν ἄλλα τε καὶ ξένους στρατιώτας ἀποκτεῖναι ὅπου ἂν αὐτοῖς συντυχῶσιν.

**Ὁ Νέλσον Μανδέλα, ἐν νοσοκομείῳ**

Ὁ Νέλσον Μανδέλα, ἤδη ἐνενήκοντα καὶ τρία ἔτη γεγονώς, εἰς νοσοκομεῖόν τι (οὐδεὶς οἶδε ὅ τι νοσοκομεῖον) εἰσέβη χθὲς ἅτε τὴν γαστέρα νοσῶν, ὅμως δὲ διαβεβαιοῦνται οἱ ἰατροὶ ὅτι οὐ μὲν κινδυνεύει, αὔριον δὲ ἔξεσται αὐτῷ οἴκαδε ἐπανελθεῖν. ὁ τῆς ἀρχῆς φερέφωνος εἶπεν ὅτι ὁ Ν. Μ. ὑγιαίνοι, ὅμως δὲ οὐκ εἶπεν ἐν τίνι νοσοκομείῳ κεῖται· λέγεται ὅτι τοῦτο τὸ νοσοκομεῖον εἴτε ἐν τῷ Ἰωάννεσβουργ εἴτε ἐν τῇ Πρετορίᾳ ἐστίν. ὁ Μαδίβα (οὕτως γὰρ οἱ τῆς Νοτίας Ἀφρικῆς πολῖται αὐτὸν φιλοφρόνως καλοῦσιν) εἴκοσι μὲν καὶ ἑπτὰ ἔτη ἐν τῷ δεσμωτηρίῳ ἔκειτο ἅτε τῇ τότε ἀρχῇ ἀνθιστάμενος, ἔπειτα δὲ ἐγένετο ὁ πρῶτος Αἰθίοψ πρόεδρος τῆς Νοτίας Ἀφρικῆς, τὸ δὲ τῆς Εἰρήνης Ἆθλον πάλαι ἐδέξατο.

**Ὁ πόλεμος μένει ἐν τῇ πόλει Ὅμς**

Οἱ τοῦ Ἐρυθροῦ Σταυροῦ ἐργασταὶ συνεχῶς πειρῶσι τὸν Ἀσᾶδ πείθειν τῇ πόλει Ὅμς μηκέτι ἐπιτίθεσθαι, βούλονται γὰρ τοὺς τετρωμένους ἐκ ταύτης τῆς πόλεως ἐκφέρειν ἣν ὁ Ἀσᾶδ πολιορκεῖ, οὐ μόνον πολίτας ὄντας ἀλλὰ καὶ ξένους· τῇ Τετάρτῃ ἀπέθανον ἐν ταύτῃ τῇ πόλει

Ἀμερικανή τις δημοσιογράφος καὶ Γάλλος φωτογράφος, καὶ δὴ καὶ ἄλλη Γαλλὶς δημοσιογράφος καὶ Ἄγγλος ἄλλος ἐβλάβησαν. ὅμως δὲ ὁ Ἀσᾶν μόνους τοὺς τῆς Ἐρυθρᾶς Ἡμισελήνου ἐργαστὰς εἴασεν εἰς τὴν πόλιν εἰσβῆναι. κατὰ τὸν τοῦ Ἐρυθροῦ Σταυροῦ φερέφωνον οὐκ ἐξὸν ἐπιτήδεια εἰσφέρειν σῖτός τε καὶ φάρμακα ἐν τῇ πόλει ἐνδεᾶ εἰσιν, τοῖς δὲ πολίταις ἠλεκτρικῇ ἐνεργείᾳ χρῆσθαι οὐκ ἔξεστιν.

## What music do Sarkozy and Hollande like? / Servia refuses to recognise Kosovo / Will any citizen be left alive in Homs?

(03-03-12)

**˜Τίνα μουσικὴν ὅ τε Σαρκοζὶ καὶ ὁ Ὁλλάνδης φιλοῦσιν;**

Ἀρχαιρεσιῶν ἐν τάχει γενησομένων ἐν τῇ Γαλατίᾳ, ὅ τε Σαρκοζὶ καὶ ὁ Ὁλλάνδης, ἄμφω πεντήκοντα καὶ ἑπτὰ ἔτη γεγονότες καὶ εἰς τὸ Ἠλύσιον ἀφίκεσθαι βουλόμενοι, τοὺς μὲν πολίτας πείθειν πειρῶνται, ἐξὸν δὲ αὐτοῖς τῷ διαδικτύῳ χρῆσθαι ἵνα τοὺς πολίτας πείθωσιν ἐκεῖ νῦν δεικνύασιν ἥντινα μουσικὴν φιλοῦσιν· πᾶσαι μὲν αἱ ᾠδαὶ ἃς εἰς τὸν κατάλογον ἔγραψαν, πλὴν μιᾶς ἑκατέρῳ, Γαλλικαί εἰσιν, οὐδὲ δεῖ σοφώτατον εἶναι τοῦτον ὅστις ἂν βούληται αἰσθάνεσθαι ταύτην φανερῶς πολιτικὴν στρατηγίαν οὖσαν, ἴσως γὰρ οἱ πολῖται οὐ ψηφίσαιντο ἂν τούτῳ ὅστις τὴν Γαλλικὴν μουσικὴν μὴ φιλοίη.

**Ἡ Σερβία τὸ Κόσοβον ὁμολογῆσαι οὐ βούλεται**

Οἱ πρόεδροι τῶν χωρῶν αἳ τῆς Εὐρωπαικῆς Ἑνώσεως μετέχουσι τὴν Σερβίαν εἰς τὴν ΕΕ δέχεσθαι ἐθέλουσιν, ὅμως δὲ μικρὸν πρόβλημα αὐτοῖς ἐστιν, ἡ γὰρ Σερβία τὸ Κόσοβον ὡς αὐτόνομον χώραν ὁμολογῆσαι οὐδαμῶς βούλεται· κατὰ μὲν τὴν Σερβίαν οὐ δεῖ τοῦτο ἐμπόδισμα γενέσθαι περὶ τοῦ εἰς τὴν ΕΕ δεχθῆναι, κατὰ δὲ τὰς χώρας ἤδη ἐν τῇ ΕΕ οὔσας τοῦτο ἴσως ἐμπόδισμα ἔσται. τὸ Κόσοβον ἀπὸ τῆς Σερβίας ἤδη νῦν τὸ πέμπτον ἔτος ἀπέστη.

**Ἆρα πολίτης τις ἐν τῇ πόλει῀ Ομς ζῶν μενεῖ;**

Ὁ τοῦ Ἡνωμένων Ἐθνῶν Ὀργανισμοῦ ὑφυπουργὸς Βὰν Κὶ Μοῦν εἶπε χθὲς ὅτι πολλὰ καὶ φοβερὰ ἀγγέλματα δείξαιτο περὶ τῶν ἐν τῇ πόλει ῞Ομς γιγνομένων, κατὰ γὰρ ταῦτα τὰ ἀγγέλματα, τῶν στασιωτῶν τὴν πόλιν καταλιπόντων, οἱ τοῦ δικτάτωρος Ἀσᾶδ στρατιῶται ἐκεῖ ὅ τι βούλονται ἀτιμωρήτως νῦν ποιοῦσιν, ἀποκτείνουσι δὲ καὶ εἰς τὸ δεσμωτήριον ἐμβάλλουσιν ὅντινα βούλονται καὶ βασανίζουσιν. κατὰ μὲν τοὺς ξένους δημοσιογράφους ἐκεῖ μένοντας οἱ στρατιῶται τοὺς τῆς Ἐρυθρᾶς Ἡμισελήνου ἐργαστὰς οὐκ εἴασαν εἰς τὴν πόλιν εἰσβῆναι διότι ἐν νῷ ἔχουσιν πρῶτον κρύπτειν πάντα ἃ ἐν τῷ δήμῳ Βάβα Ἄμρο ἐποίησαν, πάντες δὲ οἱ ἄνδρες πλὴν τῶν ἔτι παίδων ὄντων κατελήφθησαν, ὁ δὲ φωτογράφος τῆς Συνδαψ Τιμεσ εἶπε τήμερον ὅτι ὃ ἐν τῇ πόλει ῞Ομς γίγνεται πόλεμος μὲν οὔκ ἐστιν, σφαγὴ δὲ ἀνθρώπων τε καὶ γυναικῶν καὶ παίδων· ὡς εἰκός, κατὰ τὸν τοῦ Ἀσᾶδ φερέφωνον πάντα ταῦτα ψευδῆ ἐστιν.

## Unknown angel in Germany / A girl defies law in Iran / Where will Kiribati citizens go to?

(11-03-12)

**Ἄγνωστος ἄγγελος ἐν τῇ Γερμανίᾳ**

Οὐδεὶς οἶδεν ὅστις ἐστίν, ἀλλὰ πολίτης τις ἐν τῇ πόλει Βραύνσβειγ οἰκεῖ ὃν πάντες οἱ ἄλλοι ταύτης τῆς πόλεως πολῖται "τὸν ἄγνωστον ἄγγελον" καλοῦσιν. διὰ τί; διὰ τόδε· οὗτος ὁ ἄνθρωπος (πότερον γυνή ἐστιν ἢ ἀνὴρ οὐδεὶς οἶδεν) πρῶτον μὲν χρήματα εἰσέθηκεν εἰς φακέλους, ἔπειτα δὲ τοὺς φακέλους τοῖς πένεσιν ἔδωκεν. ἐν ἑκάστῳ φακέλῳ καὶ μύρια ἢ δισμύρια Εὐρώπια ἦν καὶ χάρτης τις ἐν ᾧ τὸ ὄνομα τὸ τοῦ ἀνθρώπου χρημάτων δεομένου γεγραμμένον ἦν. καὶ δὴ καὶ οὐ μόνον ἄνθρωποι τοὺς φακέλους κάτευθυ ἐδέξαντο ἀλλὰ καὶ ὀργανισμοὶ οἷον οἰκήσεις ὀρφανῶν παίδων καὶ ἄλλοι ὀργανισμοὶ τοὺς πένητας ὠφελοῦντες. ἀνώνυμος ἄγγελός ἐστιν.

**Κόρη τις τοὺς νόμους ἐν τῷ Ἰρᾶν προκαλεῖται**

Οἱ τοῦ Ἰρᾶν πολῖται οἳ τῆς ῥαδιοφωνίας ἀκούουσι μόνον εἴτε στρατιωτικὴν ἢ ἱερὰν μουσικὴν εἴτε τὰ τῶν ἀρχόντων πολιτικὰ κηρύγματα ἀκούουσιν, δεῖ δὲ αὐτοὺς τῷ διαδικτύῳ

χρῆσθαι ἐὰν βούλωνται ἄλλο τι ἀκούειν (ἀεί, πῶς γὰρ οὔ, λάθρᾳ). νῦν δὲ πάντες διαλέγονται περὶ Ἰρανῆς κόρης τινὸς ἣν ἔξεστιν ἐν YouTube ἰδεῖν ᾠδὴν ἀείδουσαν. ἀλλὰ διὰ τί τοῦτο οἱ τοῦ Ἰρᾶν πολῖται θαυμαστὸν εἶναι νομίζουσιν; διότι κατὰ τοὺς ἐκείνης τῆς χώρας νόμους οὐκ ἔξεστι ταῖς γυναιξὶ ἐν τῷ φανερῷ ἀείδειν, λέγουσι γὰρ οἱ ἀϊατουλλάχοι ὅτι ἡ τῶν γυναικῶν ᾠδὴ τοὺς ἄνδρας διαφθείρει. ἡ κόρη, τρισκαίδεκα ἔτη γεγονυῖα καὶ Τάρα καλουμένη, ἐξ ἀπροσδοκήτου σύμβολον γεγένηται νῦν τῶν τοῖς ἄρχουσιν ἀνθισταμένων.

**Ποῖ ἐλεύσονται οἱ τοῦ Κιριβάτι πολῖται;**

Ἡ τοῦ Κιριβάτι ἀρχὴ χώραν ὠνεῖσθαι παρὰ τῆς τοῦ Φίχι ἀρχῆς ἐν τῷ Εἰρηνικῷ Ὠκεανῷ πειρᾷ ἵνα τοὺς ἑαυτῆς πολίτας ἐκεῖσε μεταφέρῃ, διὰ γὰρ τὴν τοῦ κλίματος μεταβολὴν οἱ ὠκεανοὶ ὑψηλότεροι κατ᾽ ἐνιαυτὸν γίγνονται καὶ αἱ τριάκοντα καὶ τρεῖς νῆσοι αἳ τὸ Κιριβάτι συνιστᾶσιν ἀναγκαίως ἀφανισθήσονται. ἔνιοι μὲν οἳ ἐν τῇ παραλίᾳ ᾤκουν ἤδη τὰς οἰκίας καταλιπόντες ἄλλοθι μετῴκησαν, ὅμως δὲ εἶπεν ὁ τοῦ Κιριβάτι πρόεδρος, ὁ ᾿Ανότης Τόγγ, ὅτι οὐ μὲν ἐξέσοιτο πάντας τοὺς πολίτας εἰσάπαξ μετενεγκεῖν, δεήσοι δὲ τοῦτο προβάδην κατὰ ἐνιαυτοὺς ποιεῖν.

## Encyclopaedia Britannica, to stop being printed / Minister of Gaddafi, arrested in Mauritania / Hollande wants to stop Merkel

(18-03-12)

**Τὴν Βρεταννικὴν Ἐγκυκλοπαιδείαν οὐκέτι ἐκδώσουσιν**

Ὁ ὀργανισμὸς ὃς τὴν Βρεταννικὴν Ἐγκυκλοπαιδείαν ἐκδίδωσιν εἶπε προχθὲς ὅτι αὐτὴν οὐκέτι παπύρῳ ἐκδώσοιεν, βούλονται γὰρ μόνον τὴν ἠλεκτρονικὴν ἔκδοσιν ἐκδιδόναι. κατὰ τοῦτον τὸν ὀργανισμὸν βούλονται τὸ νῦν οἵ τε ἀκαδημεικοὶ καὶ οἱ μαθηταὶ μόνον τῇ ἠλεκτρονικῇ ἐκδόσει χρῆσθαι, καὶ δὴ καὶ ἡ καλουμένη "Οὐικιπαιδεία" οὕτως ἔνδοξος γεγένηται ὥστε δεῖ αὐτοὺς ταύτην τὴν μεταβολὴν ἀναγκαίως ποιεῖσθαι (ὅμως δὲ ἔνια μὲν τῶν ἐν τῇ Οὐικιπαιδείᾳ μερῶν γελοῖά ἐστιν, ἄλλα τε καὶ τὰ περὶ τῆς πολιτικῆς, ῥᾷστον δέ ἐστι τῷ ἀναγιγνώσκοντι τὴν πολιτικὴν ἐπίνοιαν τὴν τοῦ τὸ μέρος γράψαντος αἰσθάνεσθαι).

εἶπε δὲ ὁ τοῦ οργανισμοῦ φερέφωνος ὅτι τὸ νῦν μόνον οἱ συλλέκται τὴν ἐγκυκλοπαιδείαν παπύρῳ ἐκδοθεῖσαν ὠνοῦνται.

**Ὑπουργὸν τοῦ Γαδδάφι ἐν τῇ Μαυριτανίᾳ καταλαμβάνουσιν**

Ὁ φερέφωνος ὁ τῆς Μαυριτανίας φυλακῆς εἶπε χθὲς ὅτι τὸν Ἀβδουλὰ Σενούσσι ἐν τῷ ἀερολιμένι καταλάβοιεν ἐκ τῆς Καζαβλάγκης (Μορόκκο) ἄρτι ἀφικόμενον, οἱ γὰρ φύλακες ᾔσθοντο τὸν Α. Σ. ψευδὲς διαβατήριον ἔχοντα (διαβατήριον τοῦ Μάλι) καὶ εὐθὺς αὐτὸν κατέλαβον. τὸ μὲν τῆς Ἅγης Δικαστήριον τοῦτον τὸν ἄνθρωπον ἐζήτει, τῆς γὰρ ἐπὶ τὸν Γαδδάφι ἀναστάσεως γενομένης πολλοὺς πολίτας ἀπέκτεινέ τε καὶ ἀλόγως κατέλαβε, καὶ δὴ καὶ ἡ Γαλατία ἤδη πάλαι ἐπειράσατο αὐτὸν καταλαβεῖν ἅτε πάλαι τρομοκρατικὴν προσβολὴν ἐν ἀεροσκάφει ἐκ τῆς Βραζαβὶλ πρὸς τὸ Παρίσιον πετομένῳ ποιήσαντα ἐν ᾗ ἑκατὸν καὶ ἐνενήκοντα ἄνθρωποι ἀπέθανον· ὅμως δὲ ἴσως ἡ Μαυριτανία τὸν Α. Σ. οὔτε τῷ τῆς Ἅγης Δικαστηρίῳ οὔτε τῇ Γαλατίᾳ παραδώσει, ὁ γὰρ ταύτης τῆς χώρας πρόεδρος μᾶλλον βούλεται αὐτὸν τῇ νέᾳ τῆς Λιβύης ἀρχῇ παραδοῦναι. ὁ Α. Σ., τοῦ Γαδδάφι ἄρχοντος, ὑπουργὸς ἦν τῆς κρυπτῆς κατασκοπῆς.

**Ὁ Ὁλλάνδης τὴν Μέρκηλ παύειν βούλεται**

Ὁ Ὁλλάνδης, ὃς τῷ Σαρκοζὶ διαδέχεσθαι βούλεται, τοὺς πολίτας πείθειν πειρώμενος λέγει μὲν ὅτι ἐὰν πρόεδρος τῆς Γαλατίας γίγνηται τὰς τῆς Μέρκηλ περὶ τῆς οἰκονομίας βουλὰς οὐ δέξεται, τὸν δὲ Σαρκοζὶ μέμφεται ὡς τῇ Μέρκηλ παντελῶς ὁμολογοῦντα περὶ τῶν μεταβολῶν ἃς δεῖ εἰς τὴν Εὐρωπαικὴν οἰκονομίαν εἰσθεῖναι, κατὰ γὰρ αὐτὸν οὐ δεῖ τὴν Γαλατίαν τὴν Μέρκηλ ὡς τὴν τῆς Εὐρώπης ἄρχουσαν δέχεσθαι.

## North Korea’s missile flies one minute / Some of Obama’s bodyguard, fired / Titanic sank 100 years ago

(14-04-12)

**Ὁ τῆς Βορείας Κορέας πύραυλος μόνον λεπτὸν πέτεται**

Ἡ Βόρεια Κορέα ἐπειράσατο προχθὲς πύραυλον ἀνεῖναι ὅπως τηλεπικοινωνιακὸν δορυφόρον ἐν τῷ αἰθέρι ἐνθείη. οἱ ἄλλων χωρῶν ἄρχοντες ἐπειράσαντο τὴν Β. Κ. πεῖσαι τὸν πύραυλον μὴ ἀνεῖναι, φοβούμενοι μὴ ἡ Β. Κ. τῷ ὄντι ἐμπειρίαν κτᾶσθαι βούληται ἵνα μετὰ τοῦτο πυρηνικὸν πύραυλον ἀνῇ, λέγουσι γὰρ ὅτι ὁ τηλεπικοινωνιακὸς δορυφόρος πρόφασίς ἐστιν, καὶ δὴ καὶ ἡ Ἰαπωνία τὴν Β. Κ. ἠπείλησε τὸν πύραυλον διαφθερεῖν εἰ ἐπὶ τῇ Ἰαπωνίᾳ πέτοιτο· ὅμως δὲ μηδὲν ἐδέησε ποιεῖν, ὁ γὰρ πύραυλος μόνον λεπτὸν πτὰς διεφθείρατο καὶ εἰς τὴν θάλατταν κατέπεσεν.

**Ἔνιοι τῶν τοῦ Ὀβάμα δορυφόρων ἐκβάλλονται**

Πάντες ἴσμεν ὅτι οἱ ἄρχοντες ἀεὶ ἔχουσι περὶ ἑαυτῶν δορυφόρους ὅποι ἂν πορεύωνται· ὁ μὲν πρόεδρος Ὀβάμα τοὺς ἑαυτοῦ δορυφόρους λαβὼν πρὸς τὴν Κολόμβιαν ἀπῆλθεν ἵνα ἄλλοις τριάκοντα προέδροις συντυγχάνοι, ἔνιοι δὲ τούτων (τῶν δορυφόρων, οὐ δὴ τῶν προέδρων) νυκτὶ πόρναις συνέτυχον. τῷ μὲν τῶν δορυφόρων ἄρχοντι, περὶ τούτου αἰσθομένῳ, ἔδοξε τούτους εὐθὺς ἐκβαλεῖν (οὐκ εἶπεν ὁπόσους), ὅμως δὲ διαβεβαιοῦται ὁ τοῦ προέδρου φερέφωνος ὅτι ὁ πρόεδρος Ὀβάμα οὔποτε ἐκινδύνευσεν, ἄλλοι γὰρ δορυφόροι παρῆσαν.

**Ὁ Τιτανικὸς ἤδη τὸ ἑκατοστὸν ἔτος κατέδυ**

Τήμερον ὁ Τιτανικός, ἡ μεγίστη ναῦς τῶν τότε, ἤδη τὸ ἑκατοστὸν ἔτος ἐν τῷ Ἀτλαντικῷ Ὠκεανῷ πρὸς τὴν Νέαν Ὑόρκην πλέων κατέδυ. τὴν ταύτης τῆς νεὼς ἱστορίαν πάντες ἴσασιν· τὸ πρῶτον πλέουσα, παγοβούνῳ προσέκρουσε καὶ κατέδυ. νῦν δὲ ἄλλη ναῦς, ἡ Βαλμορᾶλ, νεωστὶ μὲν ἐκ τοῦ Σαουθάμπτου ἀπέπλευσεν ἵνα τὸν αὐτὸν πλοῦν ποιῆται καὶ ὁ Τιτανικός, ἐπειδὰν δὲ ἐκεῖσε ἀφίκωνται οὗ ὁ Τιτανικὸς κατέδυ ἡ μὲν Βαλμορᾶλ παύσεται καὶ ἐκεῖ μενεῖ, οἱ δὲ ἐπιβάται τὰ ἱερὰ ποιήσαντες τοὺς ἐκεῖ ἀποθανόντας τιμήσουσιν.

## Sarkozy takes care of his watch / India launches its first nuclear missile / Airplane crashes in Pakistan, 138 die

(22-04-12)

**Ὁ Σαρκοζῗ τὸ ἑαυτοῦ ὡρολόγιον φυλάττει**

Ῥᾷστόν ἐστι τῆς οἰκονομικῆς κρίσεως αἰσθάνεσθαι, ὁ γὰρ πρόεδρος αὐτὸς τῆς Γαλατίας, ὁ Νικολάος Σαρκοζί, οἶδεν μὲν ὅτι τὸ ἑαυτοῦ ὡρολόγιον, τιμιώτατον ὄν, οἰκονομικὴ σωτηρία ἔσται ᾧτινι ἂν λάβῃ, τόδε δὲ ἐποίησεν· τοῖς ἐπικουροῦσιν ἐν τῷ Παρισίῳ συντεύξεσθαι μέλλων ἐν τῇ ἀγορᾷ τῆς Κογκορδίας, δέον τὸν πρόεδρον τοῖς παροῦσι τὴν χεῖρα παρέχειν, ὁ Σαρκοζὶ τὸ ὡρολόγιον ἐκ τοῦ καρποῦ λαβὼν εἰς τὸν χιτῶνα εἰσέθηκεν ἵνα μηδεὶς τῶν παρόντων λαβεῖν δύναιτο (λέγεται ὅτι τοῦτο τὸ ὡρολόγιον δῶρόν ἐστι τῆς ἑαυτοῦ γυναικός, τῆς Καρλότης Βροῦνι). τῷ Σαρκοζὶ οὐ μέλλει ᾧτινι ὁ λῃστὴς τὴν ψῆφον ἂν φέρῃ.

**Ἡ Ἰνδία τὸν πρῶτον πυρηνικὸν πύραυλον ἀνίησιν**

Ἡ Ἰνδία εὐτυχῶς τὸν πρῶτον πυρηνικὸν πύραυλον ἀνῆκε, ὃς οἷός τ᾿ ἐστι ἀφίκεσθαι εἰς τόπους πεντακισχίλια χιλιομέτρα ἀπέχοντας. τὸ μὲν τοῦ πυραύλου ὄνομα "Ἄγνι" ἐστίν, ὃ "Πῦρ" Σανσκριτικῇ γλώττῃ σημαίνει, δύναται δὲ τέτταρα πυρηνικὰ κεφαλὰ φέρειν. τοῦτο ποιήσασα, ἡ Ἰνδία εἰς τὴν ὁμάδα εἰσέβη τῶν χωρῶν αἷς ἔξεστιν ἄλλαις χώραις πόρρω κειμέναις ἐπιτίθεσθαι· αὗται αἱ χῶραι αἵδε εἰσίν· ἡ Ῥωσσία καὶ ἡ Σίνη καὶ αἱ ΗΑΠ καὶ ἡ Γαλατία καὶ τὸ Ἡνωμένον Βασίλειον. οὗτος μὲν ὁ νέος πύραυλος δύναται εἰς τὴν Ῥωσσίαν ἀφίκεσθαι καὶ εἰς τὰς πόλεις ἐν τῇ Ἀνατολικῇ Εὐρώπῃ κειμένας, οὐ δὴ εἰς τὰς ἐν τῇ Ἑσπερίᾳ Εὐρώπῃ κειμένας, ὅμως δὲ δεῖ ἔτι πολλὰ πειρᾶν πρὶν τὸν πύραυλον τῷ στρατεύματι διδόναι.

**Ἀεροσκάφος τι καταπίπτει ἐν τῷ Πακιστᾶν καὶ ἑκατὸν καὶ τριάκοντα ὀκτὼ ἀποθνῄσκουσιν**

Ἀεροσκάφος τι ἑκατὸν καὶ εἴκοσι ἑπτὰ ἐπιβάτας φέρον κατέπεσεν εἰς τόπον ἐννέα χιλιομέτρα τοῦ Ἰσλαμαβᾶδ ἀπέχοντα. κατὰ μὲν τὸν τῆς ἀρχῆς φερέφωνον χειμῶν ἐγένετο πρὶν τὸ ἀεροσκάφος καταπεσεῖν, οὐδὲ ἐλπίζουσι περιόντας εὑρήσειν. τὸ ἀεροσκάφος Βόειγγ 747 ἦν καὶ ἐπέτετο ἀπὸ τοῦ Καράτσι, τῆς μεγάλης ἐμπορικῆς πόλεως, πρὸς τὸ Ἰσλαμαβᾶδ· τῆς δὲ δυστυχίας γενομένης, ἡ τηλεόρασις ἐδήλωσε τὰ τοῦ ἀεροσκάφους λείψανα ἐσκεδασμένα. καὶ δὴ καὶ οὐ μόνον οἱ ἐν τῷ ἀεροσκάφει ἐπιβάται ἀπέθανον, τοῦτο γὰρ ἐπὶ οἰκίας τινὰς κατέπεσε καὶ ἕνδεκα ἄλλοι ἄνθρωποι ἐκεῖ παρόντας ἀπέθανον.

## Guardiola leaves F. C. Barcelona / Blind Chinese dissident escapes unnoticed / Pakistan expels Bin Laden's family

(29-04-12)

**Ὁ Γουαρδιόλα τὴν Π. Ο. Βαρκελόναν καταλείπει**

Ὁ Ἰωσέφος Γουαρδιόλα, ὁ ἐνδοξότατος προπονητὴς τῆς Ποδοσφαιρικῆς Ὁμάδος Βαρκελόνης, εἶπε προχθὲς ὅτι τῷ ἐπιγιγνομένῳ ἔτει ταύτῃ τῇ ὁμάδι οὐχ ἡγήσοιτο. ἤδη μὲν ἐν τῇ ἀρχῇ τούτου τοῦ ἔτους ἐλελήχει ὁ Γουαρδιόλα ὅτι οὐκ εἰδείη πότερον αὖθις τὴν Π.Ο.Β. ἄρξοι ἢ οὔ, τέλος δὲ προχθὲς τὸ βούλευμα τοῖς τε παίκταις καὶ τοῖς δημοσιογράφοις ἐκοίνωσεν, τελευτῶν δὲ εἶπεν ὅτι "ἐμαυτὸν μὲν ἐκένωσα, δεῖ δὲ νῦν ἐμαυτὸν αὖθις πληρῶσαι". οὐκ ἀναγκαῖόν ἐστιν ἐνθάδε ἀριθμεῖν ὁπόσα ἆθλα ἡ Π.Ο.Β. ἐκτήσατο τοῦ Γουαρδιόλα προπονητοῦ ὄντος, πάντες γὰρ ἴσασιν, καὶ δὴ καὶ οὐ μόνον τοσαῦτα ἆθλα τῇ Π.Ο.Β. ἔδωκεν ἀλλὰ καὶ εἰς τοὺς παίκτας νέον τοῦ ἀγωνίζειν τρόπον εἰσέθηκεν ὃν πάντες πανταχοῦ τῆς οἰκουμένης θαυμάζουσιν. ὅταν ὁ Γουαρδιόλα τῷ μηνὶ Ἰουνίῳ ἀπέλθῃ, νέος τῆς Π.Ο.Β. προπονητὴς ὁ Βιλανόβα γενήσεται, ὃς ὑπηρέτης τοῦ Γουαρδιόλα νῦν ἐστίν, τοῦτο δὲ τὸ ἄγγελμα πάντες οἱ τῇ Π.Ο.Β. ἐπικουροῦντες ἡδόμενοι ἐδέξαντο, τοῦτο γὰρ σημαίνει ὅτι ὁ τῆς ὁμάδος τρόπος τὸ αὐτὸ ἔσται καὶ τὸ πρότερον.

**Τυφλὸς Κινεζικὸς στασιάζων τοὺς φύλακας λανθάνει φυγών**

Ὁ Σιὲν Γουανσιέγγ, ὅς συνήγορός ἐστι καίπερ τυφλὸς ὤν, ἀεὶ οἴκοι ἔμενεν ἐξ οὗ ἐκ τοῦ δεσμωτηρίου ἐλύθη (ἐκεῖ τέτταρα ἔτη ἔκειτο), οὐ γὰρ ἐξῆν αὐτῷ ἐκ τῆς ἑαυτοῦ οἰκίας ἐξελθεῖν ἅτε τοῖς ἄρχουσιν ἀνθισταμένῳ· ὅμως δὲ νεωστὶ τῆς νυκτὸς φίλων τινῶν ὠφελούντων ἐκ τοῦ Σιανδὸγγ (ἐκεῖ γὰρ ᾤκει) ἀπέφυγε καὶ εἰς τὸ Πεκίνον ἀπῆλθεν, ἐκφυγεῖν μὲν γὰρ ἐβούλετο, ἐν δὲ τῇ Σίνῃ μένειν ἐν νῷ ἔχει. οἱ δημοσιογράφοι λέγουσιν ὅτι ὁ Σ.Γ. ὑπὸ τῆς τῶν ΗΑΠ προστασίας ἐστιν, ὅμως δὲ οὐκ ἴσασι πότερον ἐν τῇ Ἀμερικανῇ πρεσβείᾳ ἐστὶν ἢ οὔ. ἡ ὁμὰς καλουμένη "Δημοσιογράφοι Ἄνευ Ὅρων" μέλλει νῦν πεύσεσθαι ὅπου ὁ Σ.Γ. ἐστίν.

**Τὸ Πακιστᾶν τοὺς τοῦ Βὶν Λάδεν οἰκείους ἐξορίζει**

Ἐξ οὗ ὁ Βὶν Λάδεν ἤδη πρῶτον ἔτος ὑπὸ τῶν Ἀμερικανῶν ἀπέθανεν, αἱ τρεῖς γυναῖκες αὐτοῦ καὶ οἱ ἕνδεκα υἱοὶ ἐν ταύτῃ τῇ χώρᾳ ἔμενον, οἱ γὰρ ἄρχοντες οὐκ ᾔδεσαν ὅ τι δέοι ποιεῖν. τέλος δὲ ἔδοξε τούτους ἐκ τοῦ Πακιστᾶν ἐξορίζειν ὅποι αὐτοὶ βουληθεῖεν, οὗτοι δὲ εἰς τὴν Σαουδικὴν Ἀραβίαν πεμφθῆναι εἵλοντο.

## Chinese blind dissident can leave China / Widows demonstrate in Bolognia / 11/9 mastermind to be judged

(05-05-12)

**Τῷ τυφλῷ Κινεζικῷ στασιάζοντι ἔξεσται ἐκ τῆς Σίνης ἐκπορεύεσθαι**

Ὁ Κινεζικὸς στασιάζων Σιὲν Γουανσιὲγγ εἶπε νεωστὶ ὅτι πρὸς τὰς ΗΑΠ πορεύεσθαι ἐν νῷ ἔχοι, ὅμως δὲ οὐκ εἶπε πότερον ἐκεῖ εἰς ἀεὶ μεῖναι βούλοιτο ἢ οὔ, ἡ γὰρ Κινεζικὴ ἀρχὴ λέγει νῦν ὅτι τὸν Σ. Γ. ἐάσει ἔξω τῆς χώρας μάθησιν ποιεῖσθαι ἐὰν τοῦτο κατὰ τοὺς νόμους αἰτήσῃ. πρῶτον μέν, τοὺς φυλάττοντας λαθὼν καὶ εἰς τὴν τῶν ΗΑΠ πρεσβείαν εἰσφυγών, ὁ Σ. Γ. ἐκ τῆς Σίνης ἐξελθεῖν οὐκ ἐβούλετο, ἔπειτα δέ, περὶ τοῦ ἑαυτοῦ βίου φοβούμενος καὶ τὴν βουλὴν μεταβαλών, τὸν Ἀμερικανὸν πρόεδρον Ὀβάμα ὠφέλειαν ᾔτησεν, ἡ γὰρ Κινεζικὴ ἀρχὴ τοὺς συγγενέας αὐτοῦ ἠπείλησεν.

**Αἱ χῆραι ἐν τῇ Βολονίᾳ διαδήλωσιν ποιοῦνται**

Ἑκατὸν ἄνθρωποι, ἄνδρες τε καὶ γυναῖκες, συνῆλθον χθὲς ἐν τῇ Βολονίᾳ ἵνα διαδηλώσεώς τινος μετέχοιεν. αὕτη ἡ διαδήλωσις ὑπὸ τῶν τε χηρῶν καὶ τῶν συγγενέων συνεκλήθη τῶν πολιτῶν οἳ τῆς οἰκονομικῆς κρίσεως ἕνεκα νεωστὶ ἑαυτοὺς ἀπέκτειναν· ἡ δὲ τῆς διαδηλώσεως ἄρχουσα ἡ Τιζιάνη Μαρρόνη ἦν, χήρα οὖσα ἐργαστοῦ τινος ὃς τῷ προτέρῳ μηνὶ ἑαυτὸν κατέκαυσε πρὸ τοῦ οἰκοδομήματος ἐν ᾧ τὸ τῆς Οἰκονομίας Ὑπουργεῖον κεῖται ἅτε τὰ ὀφειλήματα ἀποτίνειν οὐχ οἷος τ’ ὤν. κατὰ μὲν τοὺς ἀπολογισμοὺς καθ’ ἡμέραν ἑαυτὸν ἀποκτείνει πολίτης τις ἐν τῇ Ἰταλίᾳ, τοῦτο δὲ τὸν δῆμον τέτρηχεν.

**Τὸν τὰς τοῦ 11̣9 προσβολὰς διανοήσαντα δικάζουσιν**

Τήμερον ἐν τῷ Γουαντανάμῳ ἄρχεται ἡ δίκη ἡ περὶ τοῦ Χαλὶδ Σιεῖχ Μουαμάδ, ὃν πάντες νομίζουσι τὸν τὰς ἐν τῇ Νέᾳ Ὑόρκῃ τρομοκρατικὰς προσβολὰς διανοήσαντα εἶναι· οἱ πλεῖστοι τῶν συγγενέων τῶν τότε ἀποθανόντων ἀπαιτοῦσι τοὺς δικαστὰς τούτου τε καὶ τῶν αὐτῷ συμπραξάντων θάνατον καταγνῶναι. ἐνίοις μὲν τούτων τῶν συγγενέων ἔξεσται ἐν τῷ δικαστηρίῳ αὐτῷ παρεῖναι, ὅμως δὲ μόνον ἕξ, τοὺς δὲ ἄλλους δεήσει τὴν δίκην διὰ κεκλεισμένου τηλεοπτικοῦ κυκλώματος ἐν ἄλλοις τῶν ΗΑΠ τόποις ὁρᾶν.

## Without kisses in Berlin / Olympic flame arrives in the UK / Terrorist attack in high school in Italy

(19-05-12)

**Ἄνευ φιλημάτων ἐν τῷ Βερολίνῳ**

Τέλος ἥ τε Ἀγγέλη Μέρκηλ καὶ ὁ Φρανσουὰ Ὁλλὰνδ ἐν τῷ Βερολίνῳ συνῆλθον. τὸ μὲν πρότερον, ὁτε ἥ τε Α. Μέρκηλ καὶ ὁ Νικολάος Σαρκοζὶ συνέλθοιεν, ἀεὶ φιλικῶς ἀλλήλους ἠσπάζοντο, νῦν δέ, ἄλλου ἀνθρώπου προέδρου τῆς Γαλατίας γενομένου, πάντες οἱ δημοσιογράφοι ἐθαύμαζον ὅπως ἡ συνουσία τῆς τε Μέρκηλ καὶ τοῦ Ὁλλὰνδ γενήσοιτο, πότερον οἱ δύο φιλικῶς ἀσπάσοιντο ἢ ψυχρῶς τε καὶ μόνον τὴν χεῖρα ἀλλήλοις παρέχοντες· τέλος δὲ νῦν τὴν ἀπόκρισιν ἴσμεν, ψυχρὴ γὰρ συνουσία ἐγένετο. ἡ μὲν φιλία ἡ τῆς τε Μέρκηλ καὶ τοῦ Σαρκοζὶ πρὸς ἀλλήλους τοσαύτη τε καὶ τοιαύτη ἦν ὥστε οἱ δημοσιογράφοι τὸν λόγον "Μερκοζὶ" ἐποιήσαντο ἵνα σημαίνοιεν τὴν τούτων ἁρμονίαν, νῦν δὲ δοκεῖ ὁ Ὁλλὰνδ διὰ ταύτης τῆς ὁδοῦ ἐλθεῖν μὴ ἐθέλειν.

**Τὸ Ὀλυμπιακὸν πῦρ εἰς τὸ Ἡνωμένον Βασίλειον ἀφικνεῖται**

Τῶν Ὀλυμπίων ἐν τῷ Λονδίνῳ γενησομένων, τὸ Ὀλυμπιακὸν πῦρ εἰς τὸ Ἡνωμένον Βασίλειον ἀφίκετο, εἰς τὸν ἀερολιμένα Κουλδρόσην. τὸ μὲν πῦρ ἐκ τῶν Ἀθηνῶν ἠνέχθη ὑπὸ τῆς Ἀνάσσης Ἄννης καὶ τοῦ δρομέως Σεβαστιὰν Κόε καὶ τοῦ ποδοσφαιριστοῦ Βέκαμ καὶ τοῦ Βόρις Ἰόνσων, τῆς πόλεως Λονδίνου ἄρχοντος, νῦν δὲ δεῖ τὴν λαμπάδα ὁδὸν

τρισκαιδεκακισμυρίων χιλιομέτρων τὸ μῆκος πορεύεσθαι ὑπὸ ὀκτακισχιλίων δρομέων φερομένην, αὕτη δὲ ἡ ὁδὸς τέλος ἕξει ἐν τῷ Ὀλυμπιακῷ Σταδίῳ τοῦ Λονδίνου τῇ εἰκοστῇ καὶ ἑβδόμῃ τοῦ Ἰουλίου. πρῶτον μὲν ἡ Ἀνάσση Ἄννα τὸ πῦρ ἐκ τοῦ ἀεροσκάφους κατήνεγκεν, ἔπειτα δὲ ὁ Βέκαμ τὴν πρώτην λαμπάδα ἅψας τῷ πρώτῳ δρομεῖ, τῷ Βὲν Αἰνσλίῃ, παρέδωκεν.

**Τρομοκρατικὴ προσβολὴ ἐν διδασκαλείῳ ἐν τῇ Ἰταλίᾳ**

Βόμβης ἐκραγείσης πρὸ διδασκαλείου τινός, μία μαθητρὶς ἀπέθανε καὶ ὀκτὼ ἄλλαι ἐτρώθησαν τήμερον τῷ Σαββάτῳ ἐν τῷ Βρινδίσι, πόλει τινὶ ἐν τῇ μεσημβρινῇ Ἰταλίᾳ κειμένῃ. τῆς προσβολῆς γενομένης, οἱ φύλακες πάντα τὰ ἐν τῇ πόλει διδασκαλεῖα ἐξεκένωσαν. τοῦτο τὸ διδασκαλεῖον ἐγγὺς τοῦ τῆς πόλεως δικαστηρίου κεῖται, καὶ δὴ καὶ τὸ τοῦ διδασκαλείου ὄνομα "Μορβίλλο-Φαλκόνη" ἐστίν (ὁ Φαλκόνη δικαστὴς ἦν ὃς τῇ Μαφίᾳ μάλιστα ἐμαχήσατο), διὰ δὲ ταῦτα λέγεται ὅτι ἡ Μαφία ταύτης τῆς προσβολῆς αἰτία ἐστίν.

## Fight in parliament of Ukraine / Assad goes on mociing at UN / Pope's steward, arrested

(27-05-12)

**Μάχη ἐν τῇ τῆς Οὐκρανίας βουλῇ**

Οἱ βουλευταὶ οἱ τῇ ἀρχῇ ἐπικουροῦντες καὶ οἱ ἀνθιστάμενοι πὺξ ἐμαχήσαντο (καὶ ᾠὰ πρὸς ἀλλήλους ῥίπτοντες) ἐν τῇ βουλῇ πρὶν νόμον ψηφίζεσθαι κατὰ ὃν δεῖ τὴν Ῥοσσικὴν γλῶτταν κατὰ τὴν πᾶσαν Οὐκρανίαν ἐποτρύνειν τε καὶ αὐξάνειν, κατὰ μὲν γὰρ τοὺς ἀνθισταμένους οὗτος ὁ νόμος τοὺς πολίτας τοὺς τῇ Ῥωσσικῇ γλώττῃ χρωμένους κακῶς διαθήσει τοῖς τῇ Οὐκρανιανῇ γλώττῃ χρωμένοις καὶ τοὺς πολίτας διασχίσει, λέγουσι δὲ καὶ ὅτι κατὰ τὴν τῆς χώρας πολιτείαν ἡ Οὐκρανιανὴ γλῶττα μόνη δημοσία γλῶττα ἐν τῇ χώρᾳ ἐστίν. τῆς μάχης τελευτησάσης, οἱ ἄλλοι βουλευταὶ μέγα ἐκρότησαν περὶ τούτου καταγελάσαντες, ὡσπερεὶ γελοιότατόν τι ἰδόντες.

**Ὁ Ἀσσᾶδ τοῦ Ἡνωμένων Ἐθνῶν Οργανισμοῦ καταγελᾷ**

Ἐνενήκοντα ἄνθρωποι ἀπέθανον προχθὲς ὑπὸ τῶν τοῦ Ἀσσᾶδ στρατιωτῶν, ἐκ δὲ αὐτῶν πεντήκοντα ἔτι παῖδες ἦσαν. ἡ μὲν προσβολὴ ἐν τῇ πόλει Οὖλα ἐγένετο, τούτων τῶν πολιτῶν ἐκ τῆς πόλεως ἀποφυγεῖν πειρώντων (ἡ γὰρ πόλις ὑπὸ τοῦ στρατεύματος προσεβάλλετο), ὁ δὲ τῶν ἐξωτερικῶν ὑπουργὸς τῆς Γαλατίας, ὁ Λαυρὲντ Φαβιοῦς, περὶ τούτου αἰσθόμενος, τοῦτο μὲν "σφαγὴν" ἐκάλεσεν, βούλεται δὲ νῦν σύνοδον ποιεῖσθαι τῆς ὁμάδος "Φίλων τῆς Συρίας", ἣ ὁμάς ἐστι Εὐρωπαικῶν τε καὶ Ἰσλαμικῶν χωρῶν τὸν Ἀσσᾶδ ἐκ τῆς ἀρχῆς ἐκβαλεῖν βουλομένων.

πῶς γὰρ οὔ, κατὰ τὸν Ἀσσᾶδ τὴν σφαγὴν δεινότατοι τρομοκράται ὑπὸ τῶν Εὐρωπαικῶν χωρῶν πεμφθέντες ἐποιήσαντο, ἐφ᾽ οἷς, πῶς γὰρ οὔ, δεῖ μάχεσθαι. ὁ μὲν Ἡνωμένων Ἐθνῶν Οργανισμὸς τριακοσίους θεωροὺς κατὰ τὴν χώραν διανενέμηκεν, τοῦτο δὲ ὁ Ἀσσᾶδ οὐδενὸς ποιεῖται καὶ αὐτῶν καταγελᾷ.

**Τὸν τοῦ Πάππου ταμίαν καταλαμβάνουσιν**

Ὁ τοῦ Βατικανοῦ φερέφωνος, ὁ Φεδερίκος Λομβάρδι, εἶπεν ὅτι ὁ Παῦλος Γαβριέλης, ὃς τυγχάνει ταμίας τοῦ Πάππου ὤν, κρυπτοὺς χάρτας τῷ Πάππᾳ γεγραμμένους τοῖς δημοσιογράφοις δοίη, εἶπε δὲ καὶ ὅτι ἴσως ἄλλον τινὰ καταλήψοιντο, νομίζει γὰρ τὸν Π. Γαβριέλην τοῦτο οὐ μόνον πρᾶξαι ἀλλὰ ἄλλον τινὰ αὐτὸν ὠφελῆσαι. λέγουσιν οἱ δικασταὶ ὅτι κατὰ τοὺς τοῦ Βατικανοῦ νόμους ὁ Π. Γαβριέλης καταδικασθείη ἂν τριάκοντα ἔτη.

## Mubarak, sentenced for life / China arrests 600 people in Tibet

(03-06-12)

**Τοῦ Μουβάρακ εἰς ἀεὶ καταγιγνώσκουσιν**

Ὁ πρότερος πρόεδρος τῆς Αἰγύπτου, ὁ Ὅσνι Μουβαρακ, εἰς ἀεὶ ἐν δεσμωτηρίῳ μένειν κατεγνώθη ὑπὸ τῶν δικαστῶν ἐν Τῷ Καίρῳ ἅτε τὸ πέρυσιν τοὺς φύλακας κελεύσας ἐν τῇ ἀγορᾷ Ταιτὶρ πλείστους διαδηλωτὰς ἀποκτείνειν. τὸ πέρυσιν, τοῦ καλουμένου "Ἀραβικοῦ Ἔαρος" ἤδη ἀρξαμένου, ὁ μὲν τῆς Αἰγύπτου δῆμος τῷ Μουβαρακ, τότε προέδρῳ ὄντι, καὶ

τοῖς ἄλλοις ἄρχουσιν ἐπανέστη, ὁ δέ, τὴν ἀρχὴν ἀπολιπεῖν οὐκ ἐθέλων, τὸ στράτευμα ἔπεμψεν ἵνα τὴν στάσιν καταπαύσειεν, πάντες δὲ ἴσμεν ὅ τι τότε ἐκεῖ γένοιτο.

ὅμως δὲ οἱ τοῦ Μουβάρακ υἱοὶ κατὰ τὸ εἰκὸς οὐ κατεγνώθησαν, καὶ δὴ καὶ ἄλλοι ἓξ τῶν τότε ἐν τέλει ὄντων ἐκ τοῦ δικαστηρίου ἐλεύθεροι ἐξῆλθον ὡσεὶ μηδὲν κακὸν ποιήσαντες, διὰ δὲ ταῦτα τῆς δίκης τελευτησάσης πρῶτον μὲν πολλοὶ πολῖται πρὸ τοῦ δικαστηρίου τοῖς φύλαξι ἐπέθοντο λίθους ἐπιβάλλοντες, ἔπειτα δὲ πλεῖστοι τῶν πολιτῶν εἰς τὴν ἀγοραν Ταιτὶρ ἀφικόμενοι ἐπὶ ταύτην τὴν κρίσιν διεδηλώσαντο καὶ ἔτι καὶ νῦν ἐκεῖ μένουσιν, λέγουσι γὰρ ὅτι δεῖ μὲν τοὺς τοσούτων φόνων αἰτίους καταγνῶναι, ἄλλως δὲ τοῦτο αἰσχρὸν εἴη ἄν· διαβεβαιοῦνται καὶ οἱ πολῖται ὅτι δεῖ τὸν Μουβάρακ μὴ εἰς τὸ δεσμωτήριον ἀπάγειν ἀλλὰ εὐθὺς θάνατον καταγνῶναι, φοβοῦνται γὰρ μὴ ὁ ἐπιγιγνόμενος πρόεδρος αὐτὸν ἐλευθεροῖ προφάσει τινὶ χρώμενος.

**Ἡ Σίνα ἑξακοσίους πολίτας ἐν τῷ Τίβετ συλλαμβάνει**

Ἑξακόσιοι πολῖται ἐν τῷ Τίβετ ὑπὸ τῶν φυλάκων συνελήφθησαν, πλεῖστοι αὐτῶν ἐν τῇ πόλει Λάσῃ. ἔνιοι μὲν τῶν συλληφθέντων πολῖται τῆς Λάσης αὐτῆς εἰσίν, ἄλλοι δὲ ἀποδημοῦντές εἰσιν οἳ εἰς ταύτην τὴν πόλιν ἀφίκοντο τῶν ἱερῶν ἕνεκα (ἐν τῇ πόλει Λάσῃ τὸ Ποτάλα κεῖται, ὃ σεμνὸν κέντρον τῶν Τιβετάνων ἐστίν). κατὰ τὸν τῶν φυλάκων φερέφωνον οἱ ἄλλοθεν ἀφικόμενοι ἐλύθησαν καὶ οἱ τῆς πόλεως ἄρχοντες αὐτοὺς ἐκέλευσαν ἐκεῖ μὴ μένειν ἀλλὰ οἴκαδε ἐπανιέναι· ὅμως δὲ οὐδεὶς οἶδε πότερον τοῦτο ἀληθές ἐστιν ἢ οὔ, οὐ γὰρ ἔξεστι τοῖς ξένοις δημοσιογράφοις εἰς τὸ Τίβετ εἰσελθεῖν. κατὰ Φρανχε Πρεσσ, οἱ μὲν ἄρχοντες τὸ σύστημα τὸ τῶν κινητῶν τηλεφώνων καὶ τὸ τοῦ διαδικτύου παντελῶς παρέλυσαν, οἱ δὲ φύλακες ἐν πάσαις ταῖς ἀγυίαις συνεχῶς πάντας τοὺς ἀνθρώπους οἷς ἐπιτυγχάνωσιν ἂν ἐξετάζουσιν, πειρῶσι γὰρ τοὺς τῇ ἀρχῇ ἀνθισταμένους εὑρεῖν.

## British citizen comes back from coma after hearing girlfriend's voice / Japanese pier arrives at USA

(09-06-12)

**Βρετανικὸς πολίτης ἐκ τοῦ κώματος ἐξεγείρεται ἅτε τὴν τῆς μνηστῆς φωνὴν ἀκούων**

Βρετανικὸς πολίτης τριάκοντα καὶ ἓν ἔτη γεγονώς, Ματθαῖος Ταῖλωρ καλούμενος, δυστύχημα ἔπαθε αὐτοκινήτῳ πορευόμενος ἐν τῇ Ἰνδονεσίᾳ, ἐν ᾗ χώρᾳ διδάσκαλος ἦν, ἔτυχε γὰρ Ἰνδονεσίαν μνηστὴν ἔχων. ὅ τε Μ.Τ. καὶ ἡ μνηστὴ αὐτοῦ, Νουρᾶλ καλουμένη, ἐν νῷ εἶχον γαμεῖσθαι τῷ ἐπιόντι ἔτει. μετὰ μὲν τὸ δυστύχημα ὁ Μ.Τ. ἐν κώματι ἔμεινε καίπερ τῶν ἰατρῶν πάντα πειρωμένων, τέλος δὲ ἐδέησεν αὐτὸν πρὸς νοσοκομεῖον εἰς τὸ Ἡνωμένον Βασίλειον μετενεγκεῖν. ἐκεῖ δὲ ἄλλοι ἰατροί, αὐτὸν ἐξετάσαντες, εἶπον ὅτι ἴσως οὐδέποτε πάλιν ἐξεγεροῖτο (πάντες ἴσμεν ὅτι πολλοὶ ἄνθρωποι, δυστύχημα παθόντες, ἐν κώματι εἴτε πολλὰ ἔτη εἴτε εἰσαεὶ μένουσιν). πρῶτον μὲν ἡ Νουρᾶλ πρὸς τὸ Ἡνωμένον Βασίλειον αὐτῷ συνῆλθεν, ἔπειτα δὲ μετὰ τρεῖς μηνὰς ἐδέησεν αὐτὴν πάλιν πρὸς τὴν Ἰνδονεσίαν ἐπανελθεῖν.

τούτων οὕτως ἐχόντων, νεωστὶ ἡ τοῦ Μ.Τ. μήτηρ τὴν Νουρᾶλ, ἤδη πάλιν ἐν τῇ Ἰνδονεσίᾳ οὖσαν, ἐπώτρυνε τῷ Μ. τῷ τηλεφώνῳ χρωμένην τι λέγειν, ἡ δέ τι αὐτὸν ἤρετο· ὁ μὲν Μ., τὴν φωνὴν αὐτῆς ἀκούσας, ἐκ τοῦ ἀπροσδοκήτου ἐξαίφνης "ναί" ἀπεκρίνατο, ἐκ δὲ τούτου ἐπὶ τὸ βέλτιον χωρεῖ, ἐνίοτε δὲ (οὐ μὲν ἀεί, ἐνίοτε δέ) ἐγρηγορὼς κεῖται καὶ τὴν χεῖρα κινεῖν ἔχει.

**Ἰαπωνικὸν χῶμα πρὸς τὰς ΗΑΠ ἀφικνεῖται**

Πάντες ἴσμεν ὅ τι ἐγένετο τὸ πέρυσιν ἐν τῇ Ἰαπωνίᾳ τοῦ ζουνάμι γενομένου· πρὸς τοῖς δισμυρίοις ἀνθρώποις οἳ ἀπέθανον, πολλὰ ἐρείπια εἰς τὴν θάλατταν ἔπεσεν. τὰ μὲν τούτων τῶν ἐρειπίων πλεῖστα κατέδυ, πολλοὶ δὲ τόννοι μετὰ τὸ ζουνάμι ἐν τῇ θαλάττῃ ἐπιπολάζοντες ἔμενον καὶ βραδέως πρὸς τὰς ΗΑΠ ἐπορεύοντο. πρῶτον μὲν ἐξῆν τοῖς τεχνητοῖς δορυφόροις τὰ ἐν τῇ θαλάττῃ ἐπιπολάζοντα ἐρείπια εὑρεῖν, τέλος δὲ τοῦτο ἀδύνατον ἐγένετο.

ἐν τῇ πόλει Μισάουα τὸ ζουνάμι τέτταρα χώματα ἐκ τοῦ λιμένος ἀπέσπασεν, νῦν δὲ ἓν τούτων τῶν χωμάτων πρὸς τὴν τῆς Ἀγάτης παράλιαν ἐν τῷ Ὀρεγόνι ἀφῖκται, θᾶττον ἢ ὅπως οἱ ἔμπειροι ἐλογίσαντο· τὸ μὲν χῶμα εἴκοσι μέτρα ἐστὶ τὸ μῆκος καὶ ἓξ τὸ εὖρος καὶ δύο τὸ ὑψηλόν, οἱ δὲ ἁλιεῖς οἳ ἐκεῖ ἁλιεύουσι νῦν φοβοῦνται, τὰ γὰρ τρία ἄλλα χώματα ἔτι ἐν τῇ

θαλάττῃ εἰσὶ καὶ οὐκ ἔξεστι τοῖς δορυφόροις εὑρεῖν, αἱ δὲ νῆες κινδυνεύουσιν ἐὰν αὐτοῖς συμπίπτωσιν.

## Who will win tomorrow in Greece? / Last member of Supreme Truth, arrested / France to help Syrian rebels

(16-06-12)

**Ἆρα τίς νικήσει αὔριον ἐν τῇ Ἑλλάδι;**

Αὔριον τῇ Κυριακῇ ἀρχαιρεσίας μὲν ποιήσονται οἱ Ἕλληνες, πᾶσα δὲ Εὐρώπη πρὸς ταύτην τὴν χῶραν ἐπιμελῶς βλέψει. πάντες ἴσμεν ὅ τι ἐν τῇ Ἑλλάδι νῦν συμβαίνει· οἱ μὲν τῆς Ἐυρωπαικῆς Ἑνώσεως ἄρχοντες τῇ Ἑλλάδι χρήματα δανείσαντες νέους οἰκονομικοὺς νόμους ἀντὶ τοῦ δανείσματος κατατεθήκασιν, δεῖ δὲ νῦν τοὺς Ἕλληνας τὴν δίαιταν ἑαυτῶν εἰς τὸ χεῖρον μεταβάλλειν. κατὰ δὲ τὰς ἀγυίας πάντες οἱ πολῖται περὶ τοῦ αὐτοῦ διαλέγονται, πότερον δεῖ τοῦτους τοὺς νέους ἀναγκαίους οἰκονομικοὺς νόμους δέχεσθαι ἢ οὔ, πότερον δεῖ τὴν Ἑλλάδα "ἐν τῷ Εὔρῳ" μένειν ἢ οὔ, κτλ. αὔριον μὲν οἱ Ἕλληνες τὴν ψῆφον θήσονται οὐ περὶ τούτου ἢ ἐκείνου κόμματος ἀλλὰ περὶ τῆς ἑαυτῶν ἀναφορᾶς πρὸς τὴν Εὐρώπην. ἆρα τὰ ἴδια καταλείψονται καὶ τὴν σωτηρίαν τῆς χώρας ζητήσουσιν;

**Τὸν τελευταῖον ἑταῖρον τῆς ὁμάδος "Ἡ Ἀκροτάτη Ἀλήθεια" καταλαμβάνουσιν**

Ἤδη τὸ ἑπτακαιδέκατον ἔτος οἱ τῆς ὁμάδος "Ἡ Ἀκροτάτη Ἀλήθεια" ἑταῖροι τρομοκρατικὴν προσβολὴν ἐν τῷ ὑπογείῳ τῆς πόλεως Τόκιο σιδηροδρόμῳ ἐπράξαντο φαρμακώδει ἀερίῳ χρώμενοι, οὗ τρισκαίδεκα ἄνθρωποι τὸ φαρμακῶδες ἀέριον εἰσπνήσαντες ἀπέθανον (ἔδέησε δὲ πολλοὺς ἄλλους εἰς νοσοκομεῖον φέρειν). τότε μέν, τῆς προσολῆς γενομένης, οἱ φύλακες πάντας τοὺς τῆς ὁμάδος ἑταίρους οἳ τοῦτο παρεσκευάσαντο ἐζήτει, ἐκ δὲ τούτου ἑκατὸν ἐνενήκοντα κατειλήφασιν, χθὲς δὲ τὸν τελευταῖον ἔτι ἐλευθερὸν ὄντα, τὸν Κατσούια Τακαχάσι, κατέλαβον.

αὕτη ἡ ὁμὰς τὸ πρῶτον μόνον μικρὰ ὁμὰς ἀνθρώπων ἦν (οἱ πλεῖστοι αὐτῶν ἐκ τῶν πανεπιστημίων ἥκοντο) οἳ περὶ τοῦ ἰόγα διελέγοντο, ἔπειτα δὲ τὰς εἰρηνικὰς πράξεις

καταλιπόντες καὶ ἄλλας πράξεις ἤδη βιαίας οὔσας ἐπὶ τοὺς πολίτας τρέψαντες οὕτω καρτεροὶ ἐγένοντο ὥστε καὶ Ῥωσσικὸν πολεμικὸν ἑλικόπτερον ἐπρίαντο (οἱ φύλακες ἄλλα τε ὅπλα ηὗρον καὶ τὸ ἑλικόπτερον) ᾧ ἐν νῷ εἶχον ἄλλας τρομοκρατικὰς προσβολὰς πράττειν.

**Ἡ Γαλατία τοῖς Συρίοις στασιώταις βοηθήσει**

Ὁ τῶν ἐξωτερικῶν ὑπουργὸς τῆς Γαλατίας, ὁ Λαυρὲντ Φαβιοῦς, εἶπε χθὲς ὅτι ἡ Γαλατία τοῖς Συρίοις στασιώταις βοηθήσοι, ὅμως δὲ αὐτοῖς οὐχ ὅπλα δώσοιεν ἀλλὰ ἠλεκτρονικὰς σκευὰς (ῥαδιόφωνα κτλ.). κατὰ τὸν Φαβιοῦς, τοῦ Ἡνωμένων Ἐθνῶν Οργανισμοῦ παντελῶς ἡττηθέντος (ὁ Ἀσᾶδ τοῦ τε ΗΕΟ καὶ τῶν ἐπισκόπων αὐτοῦ μάλιστα καταγελᾷ) καὶ τῆς Ῥωσσίας πολεμικὰ ἑλικόπτερα καὶ ἄλλα ὅπλα τῷ Ἀσσᾶδ παρασχούσης, οὐδὲν ἄλλο μένει ἢ τοῖς στασιώταις βοηθεῖν.

## Antonis Samaras, new president of Greece / Mohamed Morsi wins elections / Syria shoots down Turkish airplane

(24-06-12)

**Ὁ Ἀντώνης Σαμαρὰς νέος πρόεδρος τῆς Ἑλλάδος γίγνεται**

Τῶν ἀρχαιρεσιῶν αὖθις γενομένων, ὁ πρόεδρος τοῦ κόμματος Νέας Δημοκρατίας, ὁ Ἀντώνης Σαμαράς, τῆς Ἑλλάδος ἄρξει, ὅμως δὲ δεήσει αὐτὸν τῷ τε κόμματι ΠΑΣΟΚ καὶ τῇ Δημοκρατικῇ Ἀριστερᾷ συνάρχειν, οὐ γὰρ τοσαύτας ψήφους ἐκτήσατο ὥστε ἄνευ ἄλλων βουλευτῶν ἄρχειν δύνασθαι. ὁ πρόσθιος πρόεδρος τῆς χώρας, ὁ Παναγιώτης Πικραμμένος, τὸν Α. Σαμαρὰς ἐν τῇ τῶν Ἀθηνῶν βουλῇ φιλικῶς δεξάμενος εἶπεν ὅτι δεήσοι τὸν νέον πρόεδρον μάχας μάχεσθαι καὶ ἔνδον τῆς χώρας καὶ ἔξω, ἔνδον μὲν γὰρ δεήσει τὴν νέαν ἀρχὴν τῇ τε ἀδικίᾳ τέλος ἐπιθεῖναι καὶ τὴν οἰκονομίαν ἐρεθίζειν, ἔξω δὲ δεήσει αὐτὸν τὴν Ἑλλάδα τῇ Εὐρωπαικῇ Ἑνώσει αὖθις ὡς ἰσχυρὰν χώραν δεικνύναι ᾗ ἔχει αὖθις τοιαύτη γενέσθαι οἷα πάλαι ἦν· ὁ δὲ Α. Σαμαρὰς ἀπεκρίνατο ὅτι ἑτοῖμος εἴη τούτοις τοῖς ἔργοις.

**Ὁ Μουαμμὰδ Μόρσι ἐν ταῖς ἀρχαιρεσίαις νικᾷ**

Ὁ Μουαμμὰδ Μόρσι, ὁ πρόεδρος τοῦ κόμματος Μουσουλμανικῶν Ἀδελφῶν, ἐν ταῖς ἀρχαιρεσίαις τὸν ἄλλον εἰς ἀρχὴν παραγγέλλοντα (τὸν στρατηγὸν καὶ πρόσθιον τῆς χώρας πρωθυπουργὸν Ἀχμὴδ Σιαφίκ) ἐνίκησε πλείον ἢ τὸ ἥμισυ τῶν ψήφων κτησάμενος. ἐξ οὗ ὁ Μουβάρακ ἐκ τῆς ἀρχῆς ἐξεβλήθη, ὁ Μ. Μόρσι ὁ πρώτος πρόεδρός ἐστιν ὃς εἰς τὴν ἀρχὴν ἀφικνεῖται τοῖς ὅπλοις οὐ χρώμενος ἀλλὰ ταῖς ψήφοις. τῶν ἀρχαιρεσιῶν γενομένων, ἐδέησε τρεῖς ἡμέρας μένειν πρὶν εἰδέναι ὅστις ὁ νικήσας εἴη, οἱ γὰρ δύο εἰς ἀρχὴν παραγγέλλοντες ἑαυτὸν ὡς νικήσαντα ἤγγειλαν.

**Ἡ Συρία Τουρκικὸν ἀεροσκάφος καταβάλλει**

Τὸ Τουρκικὸν ναυτικὸν χθὲς τὰ τοῦ ἀεροσκάφους ἐρείπια ηὗρον ὑπὸ τῇ θαλάττῃ κείμενα ὃ τῇ Παρασκευῇ ὑπὸ τῆς Συρίας κατεβλήθη, νῦν δὲ διπλωματικὴν ἅμιλλαν ἔχουσιν ἥ τε Συρία καὶ ἡ Τουρκία, ὁ μὲν γὰρ Ἀσᾶδ λέγει ὅτι τὸ ἀεροσκάφος εἰς τὸν ἀέριον τῆς Συρίας τόπον εἰσεπέτετο, ἡ δὲ Τουρκία τοῦτο παντελῶς ἀρνεῖται. καὶ δὴ καὶ λέγει ἡ Τουρκικὴ ἀρχὴ ὅτι κατὰ τοὺς νόμους ἐὰν ξένον ἀεροσκάφος εἰς τὸν ἀέριον ἄλλης τινὸς χώρας τόπον εἰσπέτηται δεῖ πρῶτον τὰ οἰκεῖα ἀεροσκάφη πέμψαι καὶ τὸ ξένον ἀεροσκάφος παρατρέπειν πρὶν πυροβολεῖν.